**Μηνὶ Αὐγούστῳ λα΄.**

**Ἡ Κατάθεσις τῆς Τιμίας Ζώνης τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας.**

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

**Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Στιχηρὰ Προσόμοια.**

**Ἦχος α΄. *Πανεύφημοι μάρτυρες ὑμᾶς.***

Πανάγαθε Δέσποινα ἐλπίς, τῶν πιστῶν καὶ στήριγμα, καταφυγὴν καὶ διάσωσμα, καὶ τεῖχος ἄῤῥηκτον, σὴν τιμίαν Ζώνην, δέδωκας τῇ Ποίμνῃ σου, εἰς πάντων εὐσεβῶν περιποίησιν, καὶ καταφύγιον, καὶ λιμένα καὶ προπύργιον, τοῖς ἐν ζάλῃ, πικρῶς κινδυνεύουσι.

Τῇ Ποίμνῃ σου δέδωκας Ἁγνή, ὄλβον ἀναφαίρετον, καὶ ποταμὸν ἀνεξάντλητον, καὶ δῶρον ἅγιον, καὶ σωτῆρα θεῖον, καὶ χαρίτων ἄβυσσον, καὶ ῥῶσιν τοῖς ἐν πίστει προσπίπτουσι, καὶ μέγα ἴαμα, καὶ παθῶν πάντων ἐλάτειρα, τὴν ἁγίαν, Ζώνην σου Πανάχραντε.

Ζώνη πανακήρατε Μητρός, τοῦ Θεοῦ καὶ πάντιμε, Σειρὰ οὐράνιε ἄχραντε, λιμὴν ἀχείμαστε, πάντων τῶν ἐν πίστει, προσφευγόντων πάντοτε· γενοῦ καταφυγὴ καὶ στερέωμα, καὶ πύργος ἄσειστος, καὶ ἀκένωτον θησαύρισμα, τῇ σῇ Ποίμνῃ, ἐν ᾗ τεθησαύρισαι.

Μονή σου Σεμνὴ ἡ εὐκλεής, ἔχουσα τὴν Ζώνην σου, ὡς θησαυρὸν ἀδαπάνητον, κρήνην ἀένναον, ἁγιάζει πάντας, πίστει τοὺς προστρέχοντας, καὶ νέμει δωρεὰν τῶν ἰάσεων, χάριν ἑκάστοτε, ἐκδιώκουσα τῶν θλίψεων, ἀθυμίαν, και χαρὰν βραβεύουσα.

**Δόξα, Καὶ νῦν. Ἦχος β΄.**

Σήμερον ἡ Ἁγνὴ Παρθένος, καὶ Θεοτόκος Μαρία, ἄνωθεν ὀπτανομένη, προτίθησιν ἡμῖν εἰς προσκύνησιν, καὶ ἁγιασμὸν ὡς ἄφθορος, τὴν ἄφθαρτον καὶ παναγίαν αὐτῆς Ζώνην, τὴν τὸν ἀχώρητον Θεὸν τὸν ἐν αὐτῇ χωρῆσαι εὐδοκήσαντα, θεοπρεπῶς διαζώσασαν, καὶ παρέχουσαν πᾶσιν, ἱλασμὸν καὶ νοσημάτων τὴν ἴασιν.

**Εἰς τὸν Στίχον.**

**Στιχηρὰ Προσόμοια. Ἦχος β΄. *Οἶκος τοῦ Εὐφραθᾶ.***

Ζώνη πανευκλεής, τῆς ὑπερτίμου Κόρης, Μητρὸς Θεοῦ τοῦ Λόγου σκέποις ἡμᾶς φρουροῦσα, ἀπὸ παντοίων θλίψεων.

**Στίχ.** *Τοῦ ποταμοῦ τὰ ὁρμήματα εἰφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ.*

Λύσιν τῶν δυσχερῶν, καὶ κτῆσιν τῶν ἀρίστων, τῆς σῆς πανσέπτου Ζώνης, δυνάμει Θεοτόκε, τοῖς σοῖς ἱκέταις δώρησαι.

**Στίχ.** *Ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος.*

Ἐλπὶς χριστιανῶν, Παρθένε Παναγία, δυνάμει τῆς σῆς Ζώνης, ἀπὸ παντοίας βλάβης, σοὺς δούλους περιφύλαττε.

**Δόξα, Καὶ νῦν.**

**Ἦχος β΄.** *(Ἰακώβου).*

Δεῦτε πιστοὶ ἐν καθαρᾷ καρδίᾳ, καὶ ἐν κιθάρᾳ ψαλμοῦ, τὸν ὕμνον τῇ Παρθένῳ προσοίσωμεν, τὴν πανέντιμον αὐτῆς Ζώνην πίστει κατασπαζόμενοι, τὴν αὐτῆς θεοδόχον γαστέρα περιζώσασαν, καὶ τὸν ἐν κοιλίᾳ αὐτῆς Θεὸν Λόγον βρεφωθέντα περιστείλασαν· τῇ ἀφθαρσίᾳ διαλάμπουσαν, καὶ ἡμᾶς περισῴζουσαν, παντοίων κινδύνων καὶ θλίψεων, καὶ θανάτου λοιμώδους· καὶ ταῖς ψυχαῖς ἡμῶν βραβεύουσαν τὸ μέγα ἔλεος.

**Νῦν ἀπολύεις, τὸ Τρισάγιον, καί**

**Τὸ Ἀπολυτίκιον. Ἦχος, πλ. δ΄.**

Θεοτόκε ἀειπάρθενε τῶν ἀνθρώπων ἡ σκέπη, Ἐσθῆτα καὶ Ζώνην τοῦ ἀχράντου σου σώματος, κραταιὰν τῇ Ποίμνῃ σου περιβολὴν ἐδωρήσω, τῷ ἀσπόρῳ τόκῳ σου ἄφθαρτα διαμείναντα. Ἐπὶ σοὶ γὰρ καὶ φύσις καινοτομεῖται καὶ χρόνος· διὸ δυσωποῦμέν σε, εἰρήνην τῇ κληρουχίᾳ σου δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος. *(ἅπαξ).*

**Καὶ ἀπόλυσις.**

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

**Μετὰ τὸν Προοιμιακὸν τό, Μακάριος ἀνήρ.**

*(Εἰ δὲ βούλεται ὁ Προεστώς, χάριν τῆς Πανηγύρεως, ψάλλομεν τὰ Ἀνοιξαντάρια)*

**Εἰς δὲ τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους η΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.**

**Ἦχος α΄. *«Αὐτόμελα».***

Ὢ τοῦ παραδόξου θαύματος! Ὡς πηγῆς θησαυρόν, τοῖς πιστοῖς κατέλιπες, τὴν Ζώνην σου τὴν σεπτήν, Παρθένε ἄχραντε. Εὐφραίνονται οἱ πιστοί, τῶν ἰαμάτων τὴν χάριν λαμβάνοντες· πληροῦνται ἁγιασμοῦ, καὶ εὐφροσύνης οἱ πόθῳ προσπίπτοντες· καὶ μετ᾿ εὐλαβείας πάντες, εὐσεβῶς προσέρχονται, ἀρυόμενοι χάριν, ἐξ αὐτῆς καὶ ῥῶσιν πάντοτε.

Βαβαὶ τῶν σῶν μυστηρίων Ἁγνή, σὴν γὰρ θείαν Ζώνην, ὡς πηγὴν ἀκένωτον, καὶ ἄσυλον θησαυρόν, ἡμῖν δεδώρησαι· ἐκβλύζει γὰρ τοῖς πιστοῖς, ἀδιαλείπτως ἀείζωα χεύματα· βραβεύει δὲ δαψιλῶς, τοῖς προσιοῦσιν ἐν πίστει τὴν ἴασιν, χαλεπῆς παντοίας λώβης, ἰατρὸς πανάριστος, ἀνεδείχθη Παρθένε, ὡς αὐτὴ μόνη ηὐδόκησας.

Τὴν σὴν δοξάζουσι πάντιμον, Παναγίαν Ζώνην, Ἁγνὴ παμμακάριστε· τὰ στίφη τῶν εὐσεβῶν, καὶ θεοφρόνων λαῶν· λαμβάνοντες ἐξ αὐτῆς, ὡς ἀκενώτου ταμείου τῆς Χάριτος, ἰάματα ψυχικά, καὶ τῶν σωμάτων ταχεῖαν ἀνάῤῥωσιν· καὶ παντὸς πληροῦται πᾶς τις, ἀγαθοῦ Πανάχραντε, ὁ προστρέχων ἐν ταύτῃ, μετὰ πόθου τε καὶ πίστεως.

Δεῦρο εὐσεβούντων ἄθροισμα, ἐν ψαλμοῖς καὶ ὕμνοις τῇ Παρθένῳ ᾄσωμεν, τιμῶντες καὶ τὴν αὐτῆς, τιμίαν Ζώνην πιστῶς, ὡς ἄφθορόν τε σειράν, τὴν τὸ ἀκήρατον σκεῦος ζωννύουσαν, καὶ δύναμιν κραταιάν, τοῖς προσπελάζουσι πᾶσι παρέχουσαν. Δεῦτε συνελθόντες πάντες, εὐσεβῶς φιλέορτοι, ἀπαρύσασθε χάριν, δι᾿ αὐτῆς καὶ μέγα ἔλεος.

**Ἕτερα Στιχηρὰ Προσόμοια.**

**Ἦχος δ΄. *Ὡς γενναῖον ἐν Μάρτυσιν.***

Ἡ σορὸς ἡ κατέχουσα, Θεοτόκε τὴν Ζώνην σου, Κιβωτὸς τοῖς δούλοις σου ἁγιάσματος, καὶ ἱερὸν περιτείχισμα, καὶ δόξα καὶ καύχημα, καὶ ἰάσεων πηγή, καθ᾿ ἑκάστην γνωρίζεται, ἔνθα σήμερον, ἱερῶς ἀθροισθέντες ἀνυμνοῦμεν, τὰ πολλά σου μεγαλεῖα, καὶ τῶν θαυμάτων τὸ πέλαγος.

Τὴν Ἁγίαν Κατάθεσιν, Θεοτόκε τῆς Ζώνης σου, ἑορτὴν κεκτήμεθα εὐφραινόμενοι· ὅτι τῇ Ποίμνῃ σου σήμερον, δοθῆναι ἠξίωσας, ἱεράν περιβολήν, φυλακτήριον ἄσυλον, δῶρον τίμιον, ἀναφαίρετον πλοῦτον ἰαμάτων, ποταμὸν πεπληρωμένον, τῶν χαρισμάτων τοῦ Πνεύματος.

Ἴδε τόπος περίδοξος, ἴδε οἶκος ἀείφωτος, ἐν ᾧ τεθησαύρισται τῆς Θεόπαιδος, Ζώνη τιμία ἐν χάριτι, προσέλθετε ἄνθρωποι, φωτισμὸν καὶ ἱλασμόν, προφανῶς ἀπαρύσασθε, καὶ βοήσατε, εὐχαρίστῳ καρδίᾳ· Παναγία, εὐλογοῦμέν σε Παρθένε, οἱ σεσῳσμένοι τῷ τόκῳ σου.

**Ἕτερον. *Ὅμοιον. Ἰακώβου.***

Φιλεόρτων συστήματα, Μοναζόντων ὁ θίασος, δεῦτε θείοις ᾄσμασι μεγαλύνωμεν, Ζώνην τῆς μόνης Θεόπαιδος, αὐτὴν ἀσπαζόμενοι, ὡς οὐράνιον σειράν, ἰαμάτων χαρίσματα, πᾶσι νέμουσαν, καὶ σὺν φόβῳ καὶ πόθῳ προσκυνοῦντες, ἐκβοήσωμεν συμφώνως, σῷσον τοὺς πίστει τιμῶντάς σε.

**Δόξα, Καὶ νῦν. «Ὀκτάηχον».**

**Ἦχος α΄.**

Θεαρχίῳ νεύματι πάντοθεν οἱ θεοφόροι Ἀπόστολοι ὑπὸ νεφῶν, μεταρσίως αἰρόμενοι,

**Ἦχος πλ. α΄.**

Καταλαβόντες τὸ Πανάχραντον, καὶ Ζωαρχικόν σου Παρθένε σκῆνος, ἐξόχως ἠσπάζοντο.

**Ἦχος β΄.**

Ὁ δὲ Θωμᾶς τῶν Ἀποστόλων θερμότατος, τῷ τοῦ οἰκείου Δεσπότου, παραγενόμενος νεύματι,

**Ἦχος πλ. β΄.**

Τὸ θεοδόχον καὶ ἀκραιφνέστατόν σου σῶμα ὑπεοκοσμίως προπεμπόμενον, ἐν αἰθέρι καταλαβών, τὴν Παναγίαν σου Ζώνην, εἰς πίστωσιν ὑπεδέξατο· καὶ γηθοσύνως ἐβόα τοῖς συμμύσταις τοῦ Λόγου· Ἰδοὺ τῆς Παντανάσσης ἡ Ζώνη ἡ πανακήρατος·

**Ἦχος γ΄.**

Ἄρατε τὸν λίθον τοῦ τάφου, καὶ τοῦτον πανευλαβῶς κατοπτεύσατε, κενωθέντα τοῦ σώματος, τῆς τοῦ ἀεννάου φωτὸς Δεσπότου Μητρός.

**Ἦχος βαρύς.**

Διὰ ταύτης γὰρ τῆς παναφθάρτου Ζώνης, ἡ τῆς Μεταστάσεως Αὐτῆς πίστωσις γέγονεν· ἣν προσκυνοῦντες ἁγιαζόμεθα· καὶ ταύτῃ ἄξιον γέρας ἀπονέμειν ἀδύνατον.

**Ἦχος δ΄.**

Ταύτης γὰρ τὸ ἀδιάφθαρτον ὑπερβαίνει πᾶσαν ἔννοιαν.

**Ἦχος πλ. δ΄.**

Διὸ Ἄχραντε Θεοτόκε, ἀεὶ σὺν ζωηφόρῳ Βασιλεῖ καὶ Τόκῳ ζῶσα, πρέσβευε διηνεκῶς, περιφρουρῆσαι καὶ σῶσαι, ἀπὸ πάσης προσβολῆς, ἐναντίας τὴν Ποίμνην σου, τὴν σὴν ἀκήρατον Ζώνην πλουτήσασαν· τὴν γὰρ σὴν προστασίαν κεκτήμεθα,

**Ἦχος α΄.**

Εἰς τοὺς αἰῶνάς σε ἀγλαοφανῶς μακαρίζοντες.

**Εἴσοδος. Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας,**

**καὶ τὰ Ἀναγνώσματα.**

*Τῆς Ἐξόδου τὸ Ἀνάγνωσμα. (Κεφ. μ΄1)*

Ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων· Ἐν ἡμέρᾳ μιᾷ τοῦ μηνὸς τοῦ πρώτου, στήσεις τὴν Σκηνὴν τοῦ Μαρτυρίου· καὶ θήσεις τὴν Κιβωτὸν, καὶ σκεπάσεις αὐτὴν τῷ καταπετάσματι, καὶ εἰσοίσεις τὴν τράπεζαν καὶ τὴν λυχνίαν καὶ θήσεις τὸ θυμιατήριον τὸ χρυσοῦν εἰς τὸ θυμιᾶν, ἐναντίον τῆς Κιβωτοῦ τοῦ Μαρτυρίου καὶ ἐπιθήσεις τὸ κάλυμμα τοῦ καταπετάσματος ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου. Καὶ λήψη τὸ ἔλαιον τοῦ χρίσματος, καὶ χρίσεις τὴν σκηνὴν καὶ πάντα τὰ ἐν αὐτῇ· καὶ ἁγιάσεις αὐτὴν καὶ πάντα τὰ σκεύη αὐτῆς· καὶ ἔσται ἁγία. Καὶ ἁγιάσεις τὸ θυσιαστήριον, καὶ ἔσται τὸ θυσιαστήριον ἅγιον τῶν ἁγίων. Καὶ ἐποίησε Μωϋσῆς πάντα ὅσα συνέταξεν αὐτῷ Κύριος ὁ Θεός, ὁ ἅγιος τοῦ Ἰσραήλ. Καὶ ἐκάλυψεν ἡ νεφέλη τὴν Σκηνὴν τοῦ Μαρτυρίου, καὶ δόξης Κυρίου ἐπλήσθη ἡ Σκηνή, καὶ οὐκ ἠδυνήθη Μωϋσῆς εἰσελθεῖν εἰς τὴν Σκηνὴν τοῦ Μαρτυρίου, ὅτι ἐπεσκίαζεν ἐπ᾽ αὐτὴν ἡ νεφέλη, καὶ δόξης Κυρίου ἐπλήσθη ἡ σκηνή.

*Βασιλέων Γ΄ τὸ Ἀνάγνωσμα.* *(Κεφ. η΄1)*

Ἐγένετο ὡς συνετέλεσε Σολομὼν τοῦ οἰκοδομῆσαι τὸν οἶκον Κυρίου, καὶ ἐξεκκλησίασεν πάντας τοὺς πρεσβυτέρους Ἰσραὴλ ἐν Σιών, τοῦ ἀνενεγκεῖν τὴν Κιβωτὸν τῆς Διαθήκης Κυρίου, ἐκ πόλεως Δαβίδ, αὕτη ἐστὶ Σιών. Καὶ ἦραν οἱ ἱερεῖς τὴν Κιβωτὸν τῆς Διαθήκης Κυρίου, καὶ τὸ Σκήνωμα τοῦ Μαρτυρίου καὶ πάντα τὰ σκεύη τὰ ἅγια, τὰ ἐν τῷ Σκηνώματι τοῦ Μαρτυρίου, καὶ ὁ βασιλεὺς καὶ πᾶς Ἰσραὴλ ἔμπροσθεν τῆς Κιβωτοῦ. Καὶ εἰσφέρουσιν οἱ ἱερεῖς τὴν Κιβωτὸν τῆς Διαθήκης Κυρίου εἰς τὸν τόπον αὐτῆς εἰς τὸ δαβεὶρ τοῦ οἴκου, εἰς τὰ ἅγια τῶν ἁγίων ὑπὸ τὰς πτέρυγας τῶν Χερουβίμ· ὅτι τὰ Χερουβὶμ διαπεπετασμένα ταῖς πτέρυξιν ἐπὶ τὸν τόπον τῆς Κιβωτοῦ, καὶ περιεκάλυπτον τὰ Χερουβὶμ ἐπὶ τὴν Κιβωτόν, καὶ ἐπὶ τὰ ἅγια αὐτῆς ἐπάνω· καὶ οὐκ ἦν ἐν τῇ Κιβωτῷ, πλὴν αἱ δύο πλάκες λίθιναι, πλάκες τῆς Διαθήκης, ἃς ἔθηκεν ἐκεῖ Μωϋσῆς ἐν Χωρήβ, ἃς διέθετο Κύριος. Καὶ ἐγένετο ὡς ἐξῆλθον οἱ ἱερεῖς ἐκ τοῦ ἁγίου, καὶ ἡ νεφέλη ἔπλησε τὸν οἶκον Κυρίου· καὶ οὐκ ἠδύναντο οἱ ἱερεῖς στῆναι λειτουργεῖν ἀπὸ προσώπου τῆς νεφέλης, ὅτι ἔπλησεν ἡ δόξα Κυρίου τὸν οἶκον Κυρίου.

*Προφητείας Ἰεζεκιὴλ τὸ Ἀνάγνωσμα.* *(Κεφ. μγ΄27 - μδ΄1)*

Ἔσται ἀπὸ τῆς ἡμέρας τῆς ὀγδόης καὶ ἐπέκεινα, ποιήσουσιν οἱ ἱερεῖς ἐπὶ τὸ θυσιαστήριον τὰ ὁλοκαυτώματα ὑμῶν, καὶ τὰ τοῦ Σωτηρίου ὑμῶν, καὶ προσδέξομαι ὑμᾶς, λέγει Κύριος. Καὶ ἐπέστρεψέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῶν ἁγίων τῆς ἐξωτέρας τῆς βλεπούσης κατὰ ἀνατολάς· καὶ αὕτη ἦν κεκλεισμένη. Καὶ εἶπε Κύριος πρός με· Ἡ πύλη αὕτη κεκλεισμένη ἔσται· οὐκ ἀνοιχθήσεται, καὶ οὐδεὶς οὐ μὴ διέλθῃ δι᾽ αὐτῆς· ὅτι Κύριος ὁ Θεὸς Ἰσραὴλ εἰσελεύσεται δι᾽ αὐτῆς, καὶ ἔσται κεκλεισμένη· διότι ὁ ἡγούμενος, οὗτος κάθηται ἐν αὐτῇ τοῦ φαγεῖν ἄρτον ἐνώπιον Κυρίου· κατὰ τὴν ὁδὸν Αἰλὰμ τῆς πύλης εἰσελεύσεται, καὶ κατὰ τὴν ὁδὸν αὐτοῦ ἐξελεύσεται. Καὶ εἰσήγαγέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῶν ἁγίων τῆς πρὸς βοῤῥᾶν, κατέναντι τοῦ οἴκου, καὶ εἶδον, καὶ ἰδοὺ πλήρης δόξης ὁ οἶκος Κυρίου.

**Εἰς τὴν Λιτήν. Στιχηρὰ Ἰδιόμελα.**

**Ἦχος α΄.**

Εὐφραινέσθωσαν οἱ οὐρανοί, καὶ ἀγαλλιάσθω ἡ γῆ· σήμερον γὰρ ἡ Παντάνασσα ἡμῶν, παράδοξον καὶ ἀνεκλάλητον, παρασκευάζει πᾶσι τοῖς πιστοῖς τὴν ἀγαλλίασιν, διὰ τῆς ἐτησίου πανηγύρεως, τῆς ᾀειλαμποῦς αὐτῆς, καὶ παμφαοῦς ζωοπαρόχου Ζώνης, τὰς ἀκτινοβόλους ἀστραπὰς ἡμῖν ἐπαφιείσης, καὶ θεοφεγγεῖς προπεμπούσης ἀκτῖνας, καὶ μυριπνόους προχεούσης εὐωδίας πλουσίως· ἀνεξάντλητος γὰρ ἡ βρύσις τῶν αὐτῆς ἀγαθῶν, καὶ ἀένναος ὑπάρχει τῶν αὐτῆς θαυματουργιῶν, τοῖς ἐν πίστει καὶ πόθῳ προσκυνοῦσιν αὐτήν.

**Ὁ αὐτός.**

Ἡ πανάμωμος Νύμφη, καὶ Μήτηρ τῆς εὐδοκίας τοῦ Πατρός, τὴν τιμίαν αὐτῆς ἄχραντον Ζώνην, σήμερον προτίθεται τοῖς πιστοῖς εἰς προσκύνησιν, καὶ πανδαισίαν πνευματικήν, δι᾽ ἧς τὸ Πανάγιον αὐτῆς περιέζωσε σῶμα, τὸ ἀκήρατον σκεῦος, τῶν ἐπὶ Χριστοῦ συνελθουσῶν δύο φύσεων· καὶ τὸν ἐν κοιλίᾳ αὐτῆς Θεὸν κρυπτόμενον περιέστειλε· ὃς καὶ παρέχει ζωὴν αἰώνιον, τοῖς τιμῶσιν αὐτήν.

**Ὁ αὐτός.**

Ἀγάλλου ἐν Κυρίῳ, Βατοπαιδίου Μονὴ ἡ περίδοξος, τῆς Θεοτόκου τὸ Ἅγιον τέμενος· ἐν σοὶ γὰρ κατὰ πρῶτον ὀφθεῖσα, τὴν τοῦ ὅλου Ὄρους οἴκησιν ἐποιήσατο, καὶ πληθὺν ὁσίων Πατέρων εἰς ἁγιότητα εἰσήλασεν. Ἔνθα καὶ τὴν ζωήῤῥητον καὶ πανθαύμαστον Ζώνην αὐτῆς, ὡς προῖκα σωτηρίας ἡμῖν ἐβράβευσε, πᾶσιν ὀρθοδόξοις, τὴν ἀκένωτον αὐτῆς χάριν ὁσημέραι παρέχουσαν, ὡς οὐρανὸν ὑπέρλαμπρον, καὶ Παράδεισον πάντερπνον ἀληθῶς, τὸν οἶκον αὐτῆς δείξασα. Δεῦτε οὖν ἀδελφοί, τῆς ἡδυπνόου χάριτος ἐξ αὐτῆς ὀσφρανθέντες, φαιδρῶς εὐφρανθῶμεν, κροτοῦντες τοῖς ᾄσμασι, παννύχιον προσφέροντες, τῇ Παρθένῳ τὴν αἴνεσιν· δι᾽ αὐτῆς γὰρ ἡ ἄφεσις ἁμαρτιῶν βραβεύεται, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

**Ὁ αὐτός.**

Ἔπρεπε τοῖς τὸν Ἄθω οἰκοῦσι μονοτρόποις, τὴν τούτου βασιλίδα καὶ Δέσποιναν, κατὰ πρῶτον τιμᾶν καὶ σέβεσθαι, καὶ ἐγκωμίοις ἐκθειάζειν· ἐξαιρέτως δὲ ἐν τῇ Ἱερᾷ καὶ περιωνύμῳ ταύτῃ Μονῇ, ἐν ᾗ τὰ ὑπερφυῆ καὶ ἐξαίσια αὐτῆς θαυμάσια ἐτελέσθησαν, καὶ ἡ πάντιμος ἱερὰ καὶ ἡλιόμορφος χρυσαυγὴς Ζώνης αὐτῆς, ὡς Μαρτυρίου Κιβωτὸς τεθησαύρισται, καθ' ἑκάστην ἀεννάως πηγάζουσα, ἰαμάτων πελάγη τοῖς πιστῶς προσπελάζουσι, καὶ λοιμώδη νόσον ἐκ ποδῶν ποιουμένη, καὶ πᾶσι πληροῦσα τὰ αἰτήματα, τοῖς πόθῳ προσπτυσσομένοις. Διὸ ἐν τῇ Καταθέσει αὐτῆς, τοῖς νοητοῖς ἄνθεσι τῶν ὕμνων, αὐτὴν μεγαλύνωμεν, πνευματικῶς ἀγαλλόμενοι, καὶ πρὸ τῆς θείας αὐτῆς Σοροῦ λιτανεύοντες ἀνακράξωμεν· Πανακήρατε τῆς Πανάγνου Μητρὸς τοῦ Θεοῦ ἡμῶν Ζώνη, τὴν Ποίμνην σου περιφύλαττε, καὶ ἐν ἁγιότητι καὶ ἀκαταγνώστῳ βιωτῇ, ἀξίωσον ἡμᾶς ὑμνεῖν καὶ δοξάζειν σε.

**Ἦχος β΄.**

Δεῦτε πιστοί, ἐν καθαρᾷ διανοίᾳ, καὶ ψυχῆς ἁγνότητι συνελθόντες, εὐφήμους ᾠδὰς τῇ Παρθένῳ προσάξωμεν· καὶ τῇ αὐτῆς παντίμῳ Ζώνῃ, τὴν ὑμνῳδίαν προσοίσωμεν λέγοντες· Ὢ θεία καὶ σεπτή, καὶ ἀγγέλοις αἰδέσιμος Σειρά, ἡ τὸ ἀσθενὲς τῆς ἡμῶν φύσεως ῥωννύουσα, καὶ τοὺς ἀοράτους καὶ ὁρατοὺς ἐχθροὺς τῆς Ποίμνης σου συμποδίζουσα· ἡ τὰς τῶν ἀεὶ προστρεχόντων σοι ὀσφύας περισφίγγουσα, καὶ νέκρωσιν μὲν κατὰ παθῶν δωρουμένη, ἀνδρείαν δὲ πρὸς ἀρετῆς πρᾶξιν καὶ ἐνέργειαν· ἡ τῶν παθῶν ψυχῆς τε καὶ σώματος, θερμοτάτη ἐλάτειρα, ἐπίχεε καὶ ἡμῖν τὰ σὰ ἐλέη, τοῖς ἐν πίστει καὶ πόθῳ προσιοῦσί σοι.

**Ὁ αὐτός.**

Ζώνη τιμία καὶ σεπτή, ἡ τὸν Θεὸν Λόγον, ἐγγάστριον ὄντα περιειλήσασα, καὶ τὴν τῶν ἰάσεων χάριν, ἐκεῖθεν πλουτήσασα· ἡ τῆς ἀφθάρτου τοῦ Θεοῦ Μητρός, τὸ ὑπέρσεμνον σῶμα, σεμνῶς προσεγγίσασα, κἀκεῖθεν τὴν ἀφθαρσίαν ἀμφιασαμένη, ἀπαρασάλευτος καὶ ἄφθαρτος μένουσα, νέμεις τὸν ἁγιασμόν, τὴν ῥῶσιν, τὴν ἴασιν, καὶ πταισμάτων ἱλασμόν, τοῖς προσιοῦσί σοι πίστει, καὶ προσκυνοῦσι πόθῳ καὶ σέβουσιν.

**Ὁ αὐτός.**

Παντάνασσα Δέσποινα, ῥῦσαι λαόν σου καὶ Ποίμνην, ἐκ πάσης λώβης, τῇ δυνάμει καὶ χάριτι, τῆς πανσέπτου σου Ζώνης, δι' ἧς ἀφθόνως προχέεις, τοῖς πιστοῖς τὰ ἰάματα, καὶ ἀεννάως ἐποχετεύεις, τὴν παρὰ σοῦ χρηστότητα, καὶ παντοίαν λύμην ἀποσοβεῖς, καὶ νόσους ἐκ τῶν πιστῶν ἀκήρατε.

**Ὁ αὐτός.**

Φρένα καθάραντες καὶ νοῦν, σὺν τοῖς ἀγγέλοις καὶ ἡμεῖς πανηγυρίσωμεν· φαιδρῶς ἐξάρχοντες Δαβιτικὴν μελῳδίαν, τῃ νεάνιδι Νύμφῃ τοῦ παμβασιλέως Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· Ἀνάστηθι Κύριε λέγοντες, εἰς τὴν ἀνάπαυσίν σου, Σὺ καὶ ἡ Κιβωτὸς τοῦ ἁγιάσματός σου· ὡς γὰρ παλάτιον, τερπνὸν ταύτην κατεκόσμησας, καὶ κατεκλήρωσας αὐτὴν τῇ Ποίμνῃ σου Δέσποτα, περιποιεῖσθαι καὶ σκέπειν, ἐκ πολεμίων παντοίων, τῇ κραταιᾷ δυνάμει σου, ταῖς ἱκεσίαις αὐτῆς.

**Ὁ αὐτός.**

Ὡς στέφανον ὑπέρλαμπρον, Πανάχραντε Θεοτόκε τὴν Ζώνην σου τὴν Ἁγίαν, ἡ Ἐκκλησία τοῦ Θεοῦ περιέθετο· καὶ φαιδρύνεται χαίρουσα σήμερον, καὶ μυστικῶς χορεύει Δέσποινα ἐκβοῶσά σοι· χαῖρε διάδημα τίμιον, καὶ στέφανε τῆς θείας δόξης αὐτοῦ· χαῖρε ἡ μόνη δόξα τοῦ πληρώματος, καὶ αἰώνιος εὐφροσύνη· χαῖρε τῶν εἰς σὲ προστρεχόντων, λιμὴν καὶ προστασία, καὶ σωτηρία ἡμῶν.

**Δόξα, Καὶ νῦν. Ἦχος πλ. β΄.**

Τίς μὴ μακαρίσει σε Παναγία Παρθένε; Τίς μὴ ἀνυμνήσει σου τὰ ὑπὲρ λόγον θαυμάσια, καὶ ἀνευφημήσει σου τὴν ἀκήρατον Ζώνην; Ταύτην γὰρ θησαυρὸν ἀκένωτον

πᾶσι πιστοῖς παραδόξως κατέλιπες, γῆθεν μεθισταμένη, πρὸς τὸν σὸν Υἱὸν καὶ Θεὸν ἡμῶν, ἀντὶ τοῦ Παναχράντου καὶ Ζωαρχικοῦ σου Σκηνώματος· δι᾽ ἧς καὶ προχέεις ἰάματα πᾶσι τοῖς δεομένοις, καὶ βραβεύεις τῇ Ποίμνῃ σου, τὴν σὴν εὐλογίαν Πανάχραντε.

**Εἰς τὸν Στίχον**

**Στιχηρὰ Προσόμοια.**

**Ἦχος πλ. α΄. *Χαίροις ἀσκητικῶν ἀληθῶς.***

Χαίροις ἡ Βασιλὶς Οὐρανοῦ, Θεογεννῆτορ Μαριὰμ Ἀειπάρθενε, φυλάκισσα Ὄρους Ἄθω, ἐν ᾧ οἰκεῖς νοερῶς, οὐρανὸν ὡς ἄλλον τοῦτο δείξασα· κατ᾽ ἐξαίρετον ὅμως δέ, Μονῆς ταύτης ἡ ἔφορος, ἐν ᾗ τὴν θείαν, καὶ ἀκήρατον Ζώνην σου, ἐθησαύρισας, θησαυρὸν ὡς πολύολβον, πᾶσιν ἀφθόνως βλύζουσαν, τὴν χάριν τοῦ Πνεύματος, τὴν ἐνοικοῦσαν ἐν ταύτῃ, παρὰ τοῦ σοὶ ἐνοικήσαντος, ψυχῶν σωτηρίαν, καὶ σωμάτων εὐρωστίαν καὶ μέγα ἔλεος.

**Στίχ.** *Τοῦ ποταμοῦ τὰ ὁρμήματα εἰφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ.*

Χαίροις ὡραιοτάτη σειρά, κεχρυσωμένη ταῖς τοῦ Πνεύματος χάρισι, τὸ δεῖγμα τῆς ἀφθαρσίας, ἡ νοητὴ πορφυρίς, τῆς Μητρὸς Χριστοῦ τοῦ Ὑψιμέδοντος, ἡ πᾶσι τὴν ἄφθονον, τῶν θαυμάτων ἐνέργειαν, ἐξ ἀκενώτων δωρεῶν τῶν τοῦ Πνεύματος, ἐμπαρέχουσα καὶ τὰς νοσους ἐλαύνουσα. Χαῖρε ἡ περιζώσασα, τὸ σῶμα τὸ ἄχραντον, τῆς παρθενίας τὸ ἄνθος, τὸν λογικόν τε Παράδεισον, Θεοῦ τὸ χωρίον, τοῦ παρέχοντος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

**Στίχ.** *Ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος.*

Χαίροις ἡ θεία ἶρις ἡμῖν, κατακλυσμοῦ τοῦ νοητοῦ παῦλαν φέρουσα, καὶ τύπον διαλλαγῆς τε, τῆς πρὸς Θεόν· κραταιόν, τὸ χρυσοπλοκώτατον φραγγέλιον, δι᾽ οὗπερ μαστίζονται, τῶν δαιμόνων αἱ φάλαγγες, καὶ δραπετεύει, παθῶν λοίμη ἀνίατος, τῶν τὴν θείαν σου, ἐκζητούντων ἀντίληψιν. Χαῖρε τὸ ἀξιάγαστον, Ἀγγέλων θεώρημα, καὶ τῆς Μονῆς σου τὸ κλέος, Μητρὸς Θεοῦ τὸ περίζωμα· ἡμῶν δὲ τὸ σθένος, καὶ ἀντίληψις καὶ σκέπη, καὶ περιτείχισμα.

**Δόξα, Καὶ νῦν.**

**Ἦχος πλ. α΄.** *Ματθαίου.*

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων, ἠχήσωμεν ἑόρτια καὶ χορεύσωμεν εὐφραινόμενοι, ἐν τῇ πανσέπτῳ Καταθέσει, τῆς ἀκηράτου Ζώνης Μητρὸς τοῦ Θεοῦ ἡμῶν· προκύψασα γὰρ αὐτή, ἐκ τῶν ἀδύτων πανσέπτου αὐτῆς Σοροῦ, ταῖς πλουτοδότοις χάρισι, καταστέφει, τοὺς αὐτὴν εὐλαβῶς προσπτυσσομένους. Βασιλεῖς καὶ ἄρχοντες συντρεχέτωσαν, καὶ τῆς Βασιλίδος Σειράν, τὴν οὐρανίαν, κροτείτωσαν τοῖς ὕμνοις. Ποιμένες καὶ Διδάσκαλοι, τῆς τοῦ Καλοῦ Ποιμένος Μητρός, σφενδόνην χρυσόπλοκον, συνελθόντες εὐφημήτωσαν· Ἱερεῖς καὶ μονάζοντες, τὴν νοητὴν πορφυρίδα, πλουτοποιὸν χάριν παρέχουσαν τοῖς πᾶσι πανταχοῦ πιστοῖς, εὐφήμως γεραιρέτωσαν. Τὴν λυχνίαν τὴν χρυσαυγῆ, τὸ διαυγέστατον τόξον, κατὰ τῶν ἀντιπάλων πεμπόμενον καιρίως, ᾄσμασι θεηγόροις ἐγκωμιάζοντες, οὕτως εἴπωμεν· Σειρὰ διαυγεστάτη, ἡ τὸ ἀκήρατον τῆς Θεοτόκου σῶμα, περισφίγξασα, καὶ τὸν ἐν κοιλίᾳ φερόμενον Θεὸν περιστείλασα, Ζώνη τηλαυγεστάτη περίσωζε, τοὺς ταπεινοὺς ἡμᾶς, ἀπὸ παντοίας ἀνάγκης, καὶ δίδου τοῖς εὐλαβῶς σου ἁπτομένοις, εὐρωστίαν εἰρήνην, λυτρουμένη τῶν δεινῶν, καὶ σῴζουσα τὰς ψυχὰς ἡμῶν.

**Νῦν ἀπολύεις, τὸ Τρισάγιον,**
**τὸ Ἀπολυτίκιον *(ζήτει τοῦτο εἰς τὸν Μικρὸν Ἑσπερινόν)* ἐκ β΄·**
**καὶ τό, «Θεοτόκε Παρθένε».**
**Εἶτα ἡ εὐλόγησις τῶν ἄρτων καὶ ἡ Ἀνάγνωσις.**

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

**Εἰς τὸ «Θεὸς Κύριος» τὸ Ἀπολυτίκιον ἐκ γ′ *(ζήτει τοῦτο εἰς τὸν Μικρὸν Ἑσπερινόν)*· καὶ εἶτα ἡ συνήθης στιχολογία.**

**Μετὰ τὴν α′ Στιχολογίαν, Κάθισμα.**

***Ἦχος γ′. Τὴν ὡραιότητα.***

Ἐν ὡραιότητι τῆς Παρθενίας σου, τὸν ὡραιότατον, Λόγον ἐκύησας, καὶ θείᾳ Ζώνῃ σου Ἁγνή, ὡς βρέφος περιέζωσας· ταύτην οὖν δεδώρησαι, τῇ σῇ Ποίμνῃ ὦ Δέσποινα, σκέπην καὶ βοήθειαν, καὶ πηγὴν ἁγιάσματος, ἧς πίστει τὴν ἁγίαν Κατάθεσιν, πόθῳ Παρθένε ἑορτάζομεν.

**Δόξα, Καὶ νῦν. Ἕτερον. Ἦχος ὁ αὐτός. *Θείας πίστεως.***

Τόκον ἄφθορον, καὶ παρθενίαν, μόνη ἔσχηκας εὐλογημένη, περιβολὴν δὲ τῇ σῇ Ποίμνῃ σωτήριον, τὴν σεβασμίαν σου Ζώνην δεδώρησαι, ἕως τοῦ νῦν διαμένουσαν ἄφθορον, Θεονύμφευτε, δι’ ἧς ἐκ Θεοῦ λαμβάνομεν, οἱ δοῦλοί σου Ἁγνὴ τὸ μέγα ἔλεος.

**Μετὰ τὴν β′ Στιχολογίαν, Κάθισμα.**

***Ἦχος δ′. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.***

Τὰ Καταθέσια τῆς σῆς σεπτῆς Ζώνης, ἡ ’Εκκλησία σου φαιδρῶς ἑορτάζει, καὶ ἐκτενῶς κραυγάζει σοι Παρθένε Ἁγνή· Ἅπαντας περίσωζε, τῆς ἐχθρῶν ἐπηρείας, θραῦσον τὰ φρυάγματα, τῶν ἀθέων βαρβάρων, καὶ τὴν ἡμῶν κυβέρνησον ζωήν, πράττειν Κυρίου, τὰ θεῖα θελήματα.

**Δόξα, Καὶ νῦν. Ἕτερον. Ὅμοιον.**

Οἱ τῶν θαυμάτων ποταμοὶ Θεοτόκε, ἐκ τῆς πανσέπτου σου Σοροῦ προερχόμενοι, ὡς ἐξ ’Εδὲμ ποτίζουσι τὸ πρόσωπον τῆς γῆς, χάριτι κατάρδοντες, τῶν πιστῶν τὰς καρδίας, καὶ καταδροσίζοντες, τοὺς πιστῶς σε τιμῶντας· καὶ εὐχαρίστως κράζοντας ἀεί, χαῖρε ἡ μόνη ἐλπὶς τῶν ὑμνούντων σε.

**Μετὰ τὸν Πολυέλαιον, Κάθισμα.**

***Ἦχος δ′. Ἐπεφάνης σήμερον.***

Ἐν τῇ θείας Ζώνης σου, νῦν Καταθέσει, ἑορτάζει Δέσποινα, Ποίμνη Πανύμνητε ἡ σή, ἐν εὐφροσύνῃ κραυγάζουσα· Χαῖρε ἡ Ζώνη τῆς μόνης Θεόπαιδος

**Δόξα, Καὶ νῦν. Ἕτερον. *Ὅμοιον.***

Τῆς τιμίας Ζώνης σου, τῇ Καταθέσει, ἑορτάζει Πάναγνε, ὁ σὸς Πανύμνητε λαός, ἐν εὐφροσύνῃ κραυγάζων σοι· Χαῖρε Παρθένε, Χριστιανῶν τὸ καύχημα.

**Οἱ Ἀναβαθμοί· τὸ Α′ Ἀντίφωνον τοῦ δ′ ἤχου.**

**Προκείμενον, Ἦχος δ′.**

Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

**Στίχ.** *Ἄκουσον Θύγατερ καὶ ἴδε καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ καὶ ἐπιθυμήσει ὁ Βασιλεὺς τοῦ κάλλους σου.*

**Τό, Πᾶσα πνοή.**

**Εὐαγγέλιον· Κατὰ Λουκᾶν.**

Ἐν ταῖς ἡμέραις ἐκείναις ἀναστᾶσα Μαριάμ, ἐπορεύθη ...

(Ζήτει Σεπτεμβρίου η΄.)

**Ὁ Ν΄.**

**Δόξα. Ἦχος β΄.**

Τῆς σῆς πανσέπτου Ζώνης, Παντάνασσα δυνάμει, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

**Καὶ νῦν. Τὸ αὐτό.**

**Εἶτα· Ἰδιόμελον. Ἦχος β΄.**

*Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου ...*

Παντάνασσα Δέσποινα, ῥῦσαι λαόν σου καὶ Ποίμνην ἐκ πάσης βλάβης, δυνάμει καὶ χάριτι τῆς παντίμου θείας σου Ζώνης, ἣν ἐν πίστει τιμῶντες, ἐκ πόθου σὲ δοξάζομεν.

**Κανόνες γ΄.**

**Ὁ πρῶτος εἰς ς΄, ὁ εἱρμὸς δίς, καὶ οἱ ἕτεροι δύο ἀνὰ δ΄.**

**Ὁ παρὼν Κανὼν ποίημα Γεωργίου Νικομηδείας.**

**Ὠδὴ α΄.**

**Ἦχος δ΄. Ὁ Εἱρμός·**

***Θαλάσσης, τὸ ἐρυθραῖον πέλαγος, ἀβρόχοις ἴχνεσιν, ὁ παλαιὸς πεζεύσας Ἰσραήλ, σταυροτύποις Μωσέως χερσί, τοῦ Ἀμαλὴκ τὴν δύναμιν, ἐν τῇ ἐρήμῳ ἐτροπώσατο. (Δίς).***

Λαμπάδα, φωτοφανῆ καὶ ἄδυτον, ὁ τῆς Παρθένου Ναός, ὡς οὐρανὸς εὑράμενος φαιδρός, τὴν ὑπέρλαμπρον Ζώνην αὐτῆς, τὴν οἰκουμένην σήμερον ταῖς τῶν θαυμάτων αἰθριάζει αὐγαῖς.

Ἰσχύν τε, καὶ ἀσφαλείας σύνδεσμον, τὴν σὴν Πανάμωμε, θείαν ὡς ὄντως Ζώνην νοητῶς, ἐζωσμένη ἡ Ποίμνη σου, τὸ κράτος ἀδιάσπαστον, ἔχει διὸ καὶ ἐγκαυχᾶται ἐν σοί.

Τῆς πάλαι, ὡς ἀληθῶς ὑπέρτιμος, ἡ σὴ Σορὸς Κιβωτοῦ, Θεογεννῆτορ ὤφθη τοῖς ἐν γῇ, οὐ τὰ σύμβολα φέρουσα, ἀλλὰ πιστῶς φυλάττουσα, τῆς ἀληθείας τὰ γνωρίσματα.

Ἀρώματα, μυστικὰ προχέονται, ἐν τῷ Ναῷ τῆς Ἁγνῆς, ἐκ τῆς Σοροῦ τῆς Ζώνης τῆς σεπτῆς, καὶ πληροῦσι τοῦ Πνεύματος, τῆς εὐωδίας ἅπαντας, τοὺς μετὰ πόθου προσιόντας αὐτῇ.

**Ἕτερος Κανών, ποίημα τοῦ Κυρίου Ἰωσήφ· οὗ ἡ Ἀκροστιχίς·**

Ἰσχύν με τὴν σὴν ζῶσον, Ἁγνὴ Παρθένε. Ἰωσήφ.

**Ὠδὴ α΄.**

**Ἦχος πλ. δ΄. *Ἁρματηλάτην Φαραὼ ἐβύθισε.***

Ἰσχύν με θείαν εὐσεβῶς περίζωσον, ὑμνολογοῦντά σου, τὴν ἱερὰν Ζώνην, θεῖον χρηματίζουσαν, τῇ Ποίμνῃ σου περίζωμα, καὶ κραταίωμα Κόρη, καὶ ἀῤῥαγὲς περιτείχισμα, Ἄχραντε Παρθένε τῇ Ποίμνῃ σου.

Σὺ τὸν Θεὸν τὸν δυνατὸν ἐκύησας, περιζωννύοντα, τοὺς εὐσεβεῖς πάντας, δύναμιν Πανάμωμε· διό σε μακαρίζομεν, καὶ τὴν θείαν σου Ζώνην, περιχαρῶς ἀσπαζόμενοι, χάριν ἀπαντλοῦμεν καὶ ἔλεος.

Χαρμονικῶς τῇ Καταθέσει σήμερον, περιχορεύσωμεν, τῆς ἱερᾶς Ζώνης, τῆς Ἁγνῆς Θεόπαιδος· ἐξ ἧς ἡμῖν περίζωμα, ἀφθαρσίας ὑφάνθη, καὶ ἀδιάῤῥηκτον ἔνδυμα, καὶ περιβολὴ ἀδιάσπαστος.

Ὑπὸ τὴν σὴν ὁ σὸς λαὸς Πανάμωμε, προστρέχει δύναμιν· ὑπὸ τὴν σὴν σκέπην, καταφεύγει πάντοτε, πᾶσι γενοῦ βοήθεια, καὶ τὰ πρὸς σωτηρίαν, τοῖς πᾶσι δίδου αἰτήματα, σῴζουσα δεινῶν τὰς ψυχὰς ἡμῶν.

**Ἕτερος Κανὼν Νέος, οὗ ἡ Ἀκροστιχίς.**

Ὑμνοῦντι σὴν Ζώνην, χάριν νέμοις ἄφθορε.

**Ὠδὴ α΄.**

***Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.***

Ὑμνοῦντι τὴν Ζώνην σου, τὴν θείαν Ἄχραντε Δέσποινα, καὶ πανηγυρίζοντι ὡς οὐρανίαν Σειράν, δός μοι ἄνωθεν τὴν δρόσον σοῦ ἐλέους, ἵν᾽ ᾄσω γηθόμενος, ταύτης τὰ θαύματα.

Μαρία ἀκήρατε, καὶ παντευλόγησε Ἄνασσα, δοχεῖον ἀείφωτον τοῦ ἀπροσίτου φωτός, σὺ κατέλιπες, ἡμῖν σεπτήν σου Ζώνην, πηγὴν ἀνεξάντλητον, καὶ ὄλβον ἄσυλον.

Νοσούντων ἀνάῤῥωσιν, καὶ πεπτωκότων ἀνόρθωσιν, καὶ χεῖρα τοῖς κάμνουσιν ἐν ἀπορίᾳ δεινῶς, Ἁγνὴ δέδωκας, τὴν Ζώνην σου τὴν θείαν, ἣν κατασπαζόμενοι ἁγιαζόμεθα.

Ὁ τόκος ἀπείρανδρος, καὶ ὑπὲρ νοῦν τὸ μυστήριον, καὶ πάντα παράδοξα ἐν σοὶ τελεῖται Ἁγνή· τὴν δὲ Ζώνην σου φαιδρὸν περίζωμά τε, καὶ μέγα θησαύρισμα, ἡμῖν δεδώρησαι.

**Καταβασία.**

***Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται πνεύματος, καὶ λόγον ἐρεύξομαι τῇ Βασιλίδι Μητρί, καὶ ὀφθήσομαι φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης τὰ θαύματα.***

**Ὠδὴ γ΄. Ὁ Εἱρμός.**

***Εὐφραίνεται ἐπὶ σοί, ἡ ἐκκλησία σου Χριστὲ κράζουσα· σύ μου ἰσχὺς Κύριε, καὶ καταφυγὴ καὶ στερέωμα.*** ***(Δίς).***

Τιμήσωμεν οἱ πιστοί, ὡς συναφείας πρὸς Θεόν, σύνδεσμον, τὴν τῆς Ἁγνῆς σήμερον, Ζώνην καὶ πιστῶς προσκυνήσωμεν.

Ἀένναοι ὀχετοί, ἐκ τῆς τιμίας σου Σοροῦ ῥέοντες, τῶν χαρισμάτων Ἁγνή, πάντας τοὺς πιστοὺς καταρδεύουσιν.

Ὡς δρόσος ἑωθινή, ἡ εὐφροσύνη σου Ἁγνὴ ῥέουσα, τὴν τῶν παθῶν κάμινον, τῶν σὲ ἀνυμνούντων πραΰνει ἀεί.

Ἰάματα τοῖς πιστοῖς, ἡ πολυΰμνητος ἡμῖν σήμερον, τῆς ὑπερτίμου Ἁγνῆς, Ζώνη ἀναβρύει ἐν χάριτι.

**Ἕτερος.** ***Οὐρανίας ἁψῖδος.***

Νεουργεῖται καρδία, πίστει θερμῇ ψαύουσα, Ζώνῃ ἱερᾷ τῆς Παρθένου, καὶ περιζώννυται, δύναμιν ἄμαχον, κατὰ παθῶν ἀκαθάρτων, δυσμενῶν ἀσάρκων τε, ἄτρωτος μένουσα.

Μένει ἄφθορος ἔτι, ἡ ἱερὰ Ζώνη σου, ἥτις σου τὸ ἄχραντον σῶμα, Κόρη διέζωσε, καθαγιάζουσα, τοὺς εὐσεβῶς προσιόντας, καὶ φθορᾶς ἐξαίρουσα, νόσων καὶ θλίψεων.

Ἐχρημάτισας οἶκος, περικαλλὴς Ἄχραντε, Λόγου τοῦ ἐκ σοῦ σαρκωθέντος, καὶ ἐν ἁγίῳ σου, οἴκῳ ηὐδόκησας, Ζώνην τὴν σὴν ἐντεθῆναι· ἣν κατασπαζόμενοι ἁγιαζόμεθα.

Τὴν τιμίαν σου Ζώνην, τιμητικῶς ἅπαντες, ἐν ἀγαλλιάσει καρδίας, περιπτυσσόμεθα, τιμὴν ὑπάρχουσαν, πάντων πιστῶν Θεοτόκε, ὡς τῷ ὑπερτίμῳ σου, ψαύσασαν σώματι.

**Ἕτερος.** ***Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.***

Ὑμνοῦντας σοὺς δούλους Θεοτόκε, τὴν Ζώνην τὴν ἄφθορον τὴν σήν, φύλαξον τούτους ὕπερθεν, τῆς ἁμαρτίας Πάναγνε, καὶ ἐκ παντοίων λύτρωσαι, πειρατηρίων Πανάμωμε.

Ναμάτων τοῦ Πνεύματος ἐδείχθη, ἡ Ζώνη σου Κόρη ἡ σεπτή, ὡς κρήνη ἀνεξάντλητος, καὶ ποταμὸς ἀνέκλειπτος, τοῖς πίστει προσπελάζουσι, καὶ προσκυνοῦσιν ἑκάστοτε.

Τὸ σῶμά σου Ἄχραντε Παρθένε, ὡραίως διέζωσας τῇ σῇ, Ζώνῃ καὶ περιείλησας, θεοπρεπῶς τὸν Κύριον, τὸν δι' ἡμᾶς σαρκούμενον, ἐκ σῶν αἱμάτων πανάσπιλε.

Ἱλέῳ σῷ ὄμματι Παρθένε, ἐπίβλεψον ἐπὶ τὴν ἐμήν, κάκωσιν τὴν πανώλεθρον, καὶ σῷσόν με τῇ χάριτι, τῆς ἀκηράτου Ζώνης σου, ὅπως ὑμνῶ σε γηθόμενος.

**Καταβασία.**

***Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικὸν στερέωσον· καὶ τῆς παντίμου Ζώνης σου, τῇ Καταθέσει περίζωσον.***

**Κάθισμα.**

**Ἦχος δ'. *Κατεπλάγη Ἰωσήφ.***

Δεῦτε ἅπαντες πιστοί, πόθῳ συνδράμετε Σορῷ, Ζώνης παντίμου τῆς Ἁγνῆς, καὶ Θεοτόκου Μαριάμ, ἐν τῇ πανσέπτῳ Μονῇ Βατοπαιδίου, τὴν χάριν ἐξ αὐτῆς, ἀπαρυόμενοι, καὶ ῥῶσιν τῶν ψυχῶν, καὶ τῶν σωμάτων τε, καὶ δυσχερῶν τὴν λύτρωσιν, ἀπολαβόντες βοήσατε· Χαῖρε Παρθένε, ἡ τῇ σεπτῇ σου, Ζώνῃ ἡμᾶς περισῴζουσα.

**Δόξα, Καὶ νῦν. Ἕτερον.**

**Ἦχος πλ. δ'. *Τὸ προσταχθὲν μυστικῶς.***

Τῶν μονοτρόπων ὁ πιστὸς καὶ θεῖος σύλλογος, ἐν τῇ πανσέπτῳ Σορῷ τῆς θείας Ζώνης σου, μετὰ πόθου Παρθένε νῦν προσπελάζων, Μαρία Μήτηρ Κυρίου, κράζει θερμῶς, διάσῳζε ἡμᾶς πάντας ἐκ συμφορῶν, καὶ κινδύνων καὶ θλίψεων, καὶ βασιλείας οὐρανῶν, ἀξίωσον τοὺς πίστει αὐτήν, προσκυνοῦντας ὡς θείαν Σειράν.

**Ὠδὴ δ'. Ὁ Εἱρμός.**

***Ἐπαρθέντα σε ἰδοῦσα ἡ Ἐκκλησία, ἐπὶ Σταυροῦ τὸν Ἥλιον τῆς δικαιοσύνης, ἔστη ἐν τῇ τάξει αὐτῆς, εἰκότως κραυγάζουσα· Δόξα τῇ δυνάμει σου Κύριε. (Δίς).***

Ὡς ὑπέρτιμον στερέωμα Θεοτόκε, ἡ Ἐκκλησία Ζώνην σου ἔχουσα καυχᾶται· ἄστρα γὰρ καθώσπερ αὐτῆς, τὰ θεῖα χαρίσματα, πέμπει καταυγάζουσα ἅπαντας.

Σὲ κραταίωμα ἡ Ποίμνη σου Θεοτόκε, καὶ ἀσφαλῆ κρηπῖδα, ἔχουσα τῇ θείᾳ Ζώνῃ σου συνέχεται, δεσμὸν ἀδιάσπαστον, ταύτην ἐν κινδύνοις προτείνουσα.

Ἀπὸ γῆς ἡμᾶς ἀνέλκει Θεογεννῆτορ, πρὸς οὐρανὸν ἡ θεία, Ζώνη σου τῷ πόθῳ, ταύτης ἀναχθέντας τῷ νῷ· διό σε δοξάζομεν, ὡς αἰτίαν δόξης τῆς κρείττονος.

Ἰδοὺ χάρις ἀνεξάντλητος! δεῦτε πάντες, εἰλικρινεῖ καρδίᾳ, ἀρύσασθε πίστει, νάματα πηγάζοντα, ἀφθόνως φιλέορτοι, τῆς σεπτῆς Σοροῦ τῆς Πανάγνου Μητρός.

**Ἕτερος. *Σύ μου ἰσχὺς Κύριε.***

Ἤρθης πρὸς φῶς, ἄδυτον μεταχωρήσασα· ἔλιπες δέ, τοῖς σὲ μακαρίζουσιν, ἀντὶ τοῦ σώματός σου Ἁγνή, τὴν τιμίαν Ζώνην, πηγὴν θαυμάτων ὑπάρχουσαν, καὶ τόπον σωτηρίας, καὶ χαράκωμα ταύτης, τῆς τιμώσης σε Ποίμνης Πανάχραντε.

Νέον ἡμεῖς, ὡς οὐρανὸν ὑπερχόμεθα, σοῦ τὸν οἶκον, ἐν ᾧ τεθησαύρισται, καθάπερ ἥλιος τηλαυγής, σοῦ ἡ θεία Ζώνη, βολὰς θαυμάτων ἐκπέμπουσα, καὶ πάντων τὰς καρδίας, καταυγάζουσα Κόρη, καὶ παθῶν τὴν ὁμίχλην διώκουσα.

Σὺ κιβωτός, τοῦ νοητοῦ ἁγιάσματος, χρηματίζεις, Ἄχραντε πανύμνητε· καὶ τὴν τιμίαν θείαν Σορόν, ἔχουσαν τὴν Ζώνην, ἣν περιοῦσα ἐφόρεσας, παρέχεις τῳ λαῷ σου, καταφύγιον μέγα, καὶ πηγὴν ἰαμάτων ἀκένωτον.

Ἧκε τῇ σῇ, Πόλει πολύολβον δώρημα, ἡ τιμία Ζώνη σου Πανάχραντε, καὶ κατετέθη περιφανῶς, ταύτῃ τῇ ἡμέρᾳ, ἐν τούτῳ τῷ θείῳ οἴκῳ σου· καὶ γέγονε μεγίστης, ἑορτῆς Θεοτόκε, τοῖς θερμῶς σε ποθοῦσιν ὑπόθεσις.

Νόμου σκιαί, καὶ προφητῶν τὰ αἰνίγματα, προδήλουν, ἔσεσθαί σε Πάναγνε, Θεοῦ Μητέρα παναληθῆ, δι' ἧς ἡ κατάρα, ἀπεστειρώθη καὶ ἤνθησε, τελεία εὐλογία, καὶ σωτήριος χάρις, τοῖς ἐν πίστει καὶ πόθῳ ὑμνοῦσί σε.

**Ἕτερος.** ***Τὴν ἀνεξιχνίαστον θείαν βουλήν.***

Σῶμα τὸ ἀκήρατον καὶ ἀκραιφνές, τὸ παρθενικὸν καὶ πανάσπιλον, σοῦ τῆς Πανάγνου, καὶ Μητρὸς τῆς τοῦ Θεοῦ, πανευκλεῶς διέζωσε, Ζώνη ἡ πανσέβαστος Ἄχραντε.

Ἧκεν ὡς πολύολβον καὶ κραταιόν, δῶρον τῃ σῇ Ποίμνῃ Πανάμωμε, σοῦ ἡ ἁγία, καὶ πολύτιμος Σειρά, ὥσπερ αὐτὴ ηὐδόκησας, πρὸς ἁγιασμὸν καὶ ἀσφάλειαν.

Νάουσιν ἰάματα ἐκ τῆς Σοροῦ, τῆς ἀειλαμποῦς ὦ Πανάσπιλε, σοῦ θείας Ζώνης, εἰς ἀνάῤῥωσιν πιστῶν· ἃ εὐλαβῶς ἀρύοντες, νόσων ἐκ ποικίλων ῥυόμεθα.

Ζώνη πανακήρατε καὶ σεβαστή, ταῖς ἀγγελικαῖς νόων τάξεσι, καὶ τοῖς ἀνθρώποις, τοῖς πιστοῖς προσκυνητή, ὡς δαψιλῶς ἐπίῤῥανον, χάριν τοῖς ὑμνοῦσί σε ἄνωθεν.

**Καταβασία.**

***Τὴν ἀνεξιχνίαστον θείαν βουλήν, τῆς ἐκ τῆς Παρθένου σαρκώσεως, σοῦ τοῦ Ὑψίστου, ὁ προφήτης Ἀββακούμ, κατανοῶν ἐκραύγαζε· δόξα τῇ δυνάμει σου Κύριε.***

**Ὠδὴ ε΄. Ὁ Εἱρμός.**

***Σὺ Κύριέ μου φῶς εἰς τὸν Κόσμον ἐλήλυθας, φῶς ἅγιον ἐπιστρέφον, ἐκ ζοφώδους ἀγνοίας τοὺς πίστει ἀνυμνοῦντάς σε. (Δίς).***

Σὺ Κύριε τὴν σήν, Μητέρα ἐμεγάλυνας· σὺ ὕψωσας ὑπὲρ πάσας, νοερὰς ἐξουσίας, ἀσυγκρίτως τὴν δόξαν αὐτῆς.

Ἡ χάρις τοῦ Θεοῦ, νῦν ἀφθόνως παρέχεται, Πανάχραντε Θεοτόκε, ἐκ τιμίας Σοροῦ σου, τοῖς πίστει προσκυνοῦσί σε.

Σὲ δύναμιν πιστοί, βασιλεῖς περιζώννυνται· σὲ σύνδεσμον Θεοτόκε, ἡ Μονή σου αὐχοῦσα, τῇ Ζώνῃ σου σεμνύνεται.

Γνωστὴ σου ἀληθῶς, ἡ χάρις ἀναδέδεκται, Πανάχραντε παραδόξως, ἐνεργοῦσα δυνάμεις, καὶ τέρατα ἐν πάσῃ τῇ γῇ.

**Ἕτερος.** ***Ἵνα τί με ἀπώσω.***

Ζώνης θείας τεθείσης, σήμερον ἐν οἴκῳ σου Θεοχαρίτωτε, συνεπανετέθη, ἀγαθῶν πᾶσα δόσις τοῖς χρῄζουσι· καὶ πληροῦται πᾶς τις, ἁγιασμοῦ ὁ προσπελάζων, τὰς αἰτήσεις πιστῶς κομιζόμενος.

Ὡραιώθης Παρθένε, Λόγον ὡραιότατον ἀποκυήσασα· καὶ τῷ σῷ ὡραίῳ ἐπευδόκησας οἴκῳ τεθήσεσθαι, τὴν ὡραίαν Ζώνην, ἥτις τὸ σὸν ὡραῖον σῶμα, Θεοτόκε ὡραίως διέζωσεν.

Σοῦ ὁ Ἅγιος οἶκος, ἄλλος ὡς Παράδεισος, πᾶσι γνωρίζεται, μέσον κεκτημένος, ὥσπερ εὔοσμον ῥόδον τὴν Ζώνην σου, εὐωδίας θείας, ἀποπληροῦσαν τὰς καρδίας, τῶν πιστῶς προσιόντων Πανάμωμε.

Ὄμβρου θείου νεφέλη, γέγονας Πανάμωμε, ἐναποστάζουσα, σωτηρίας ὕδωρ, καὶ τὴν γῆν χερσωθεῖσαν ἐγκλήμασι, πρὸς καρποφορίαν, μεταγαγοῦσα εὐσεβείας· διὰ τοῦτο πιστῶς σε δοξάζομεν.

**Ἕτερος.** ***Ἐξέστη τὰ σύμπαντα.***

Ὡραίως διέζωσας, Θεὸν ἐνανθρωπήσαντα, ὄντα ἐν κοιλίᾳ τῆς Παρθένου, σάρκα λαβόντα ὡς ἐξ αὐτῆς ἀληθῶς· εἴληφας δὲ χάριν παρ' αὐτοῦ, Ζώνη πανακήρατε, ἣν βραβεύεις τοῖς χρῄζουσιν.

Νοσήματα παύονται, ἐν τῇ σεπτῇ προσψαύσει σου, σὺ γὰρ ἀεισέβαστε ὦ Ζώνη, ἔζωσας ξένως, τὸν Ποιητὴν τοῦ παντός, ὄντα ἐν κοιλίᾳ τῆς Ἁγνῆς· ὅθεν καὶ ἐπλούτησας, ἀφθαρσίαν καὶ ἴασιν.

Ἡγίασας ἅπαντα, τῆς γῆς Ζώνη τὰ πέρατα, σὲ γὰρ τοῦ Θεοῦ ἡμῶν ἡ Μήτηρ, γῆθεν ἀπαίρουσα πρὸς τὰ οὐράνια, ὄλβον ἐγκατέλιπεν ἡμῖν, πᾶσι τοῖς αἰτοῦσί σε, τῶν θαυμάτων τὰς χάριτας.

Ναὸς ὁ περίδοξος, οὗτος τῇ Καταθέσει σου, τέρπεται φαιδρῶς πανηγυρίζων, πλουτῶν σε μόνην περιβολὴν κραταιάν, καὶ ἄῤῥηκτον τεῖχος καὶ πηγήν, Ζώνη πανακήρατε ἀγαθῶν πολυχεύμονα.

**Καταβασία.**

***Ἐξέστη τὰ σύμπαντα, τῇ Καταθέσει σήμερον, Ζώνης τῆς παντίμου σου Παρθένε· ἣν αἰρομένη πρὸς αἰωνίους μονάς, ἡμῖν ἐναπέθου θησαυρόν, πᾶσι τοῖς ὑμνοῦσί σε, τὰς ἰάσεις βραβεύουσαν.***

**Ὠδὴ ϛ΄. Ὁ Εἱρμός.**

***Θύσω σοι, μετὰ φωνῆς αἰνέσεως Κύριε, ἡ Ἐκκλησία βοᾷ σοι, ἐκ δαιμόνων λύθρου κεκαθαρμένη, τῷ δι᾿ οἶκτον ἐκ τῆς πλευρᾶς σου ῥεύσαντι αἵματι. (Δίς).***

Ὅλην σε, ὑπερφυῶς ἐδόξασε Κύριος· ὅλην ἀνύψωσε μόνην· ὅλην σε ἐτίμησεν ὑπὲρ λόγον, Θεοτόκε, σὺν τῇ Ζώνῃ καὶ θείᾳ Ἐσθῆτί σου.

Νάουσιν, ἐκ πελάγους τὰ ῥεῖθρα τῆς χάριτος, ἐκ τῆς ἀχράντου σου Ζώνης, καὶ τὴν κτίσιν πᾶσον περικυκλοῦσιν, ἀρδεύοντα, τοὺς πιστῶς προσκυνοῦντάς σε Πάναγνε.

Ἰσχύν σε, οἱ πιστοὶ κεκτημένοι καὶ καύχημα, περιζωννύονται δόξαν, τὴν σεπτήν σου Ζώνην Θεοκυῆτορ, κατέχοντες, ὡς ὑπέρλαμπρον κόσμον καὶ τίμιον.

Γηθόμενοι, τῆς Παρθένου τὴν χάριν δοξάσωμεν, καὶ τὴν πανέντιμον Ζώνην, τὴν αὐτῆς εὐλαβῶς ἀσπασώμεθα, ῥῶσιν πᾶσιν ἀσθενοῦσι καὶ χάριν παρέχουσαν.

**Ἕτερος.** ***Ἄβυσσος ἁμαρτιῶν.***

Νέον τέτοκας ἡμῖν, ὡς παιδίον τὸν πρὸ πάντων αἰώνων· καὶ καινουργεῖς καρδίας, ἁμαρτίας παλαίωσιν, δεξαμένας καινισμῷ, τῆς Καταθέσεως τῆς τιμίας, Ζώνης σου Κόρη Ἀειπάρθενε.

Ἅγιός σου ὁ Ναός, θαυμαστὸς δικαιοσύνῃ ὑπάρχει· ὅστις τὴν θαυμαστήν σου, Ζώνην θαύματα βρύουσαν, κεκτημένος τοῖς πιστοῖς, πέλαγος δείκνυται ἰαμάτων, Θεοκυῆτορ Μητροπάρθενε.

Γέγηθε πᾶσα ψυχή, συνιοῦσα ἐν ἁγίῳ Ναῷ σου, καὶ ἐν αὐτῷ ὁ»ρῶσα, Θεοτόκε τὴν Ζώνην σου, ὥσπερ ἥλιον φαιδρόν, φέγγος ἀστράπτουσαν χαρισμάτων, τοῦ παντουργοῦ καὶ θείου Πνεύματος.

Νεύρωσον ἡμῶν Ἁγνή, τὰς καρδίας παρεθείσας παντοίων, ἁμαρτιῶν ἰδέαις, καὶ περίζωσον δύναμιν, τοὺς τὴν Ζώνην σου πιστῶς, ὡς πολυτίμητον κεκτημένους, καὶ ἀναφαίρετον θησαύρισμα.

**Ἕτερος.** ***Τὴν θείαν ταύτην καὶ πάντιμον.***

Χαρίτων θείων σου ἔμπλησον, τοὺς πίστει τῇ Σορῷ σου προστρέχοντας, καὶ ἐκβοῶντάς σοι, χαῖρε ἡ Ζώνη ἡ πάντιμος, ἡ τῆς ζωῆς τὸ σκεῦος περιειλήσασα.

Ἁγνείας θεῖον θησαύρισμα, πηγήν τε χαρισμάτων γινώσκοντες, Ἁγνὴ τοῦ Πνεύματος, Ζώνην σου θείαν τὴν ἄφθορον, μετ᾿ εὐλαβείας ταύτην περιπτυσσόμεθα.

Ῥέουσι ῥεῖθρα ἰάσεων, ἐκ τῆς πανευκλεοῦς θείας Ζώνης σου, καὶ καταρδεύουσι, πάντων ψυχάς τε καὶ σώματα, τὴν θεραπείαν ἄμφω ἀφθόνως νέμοντα.

Ἰσχὺν τοὺς πάντας περίζωσον, ὑμνοῦντας εὐλαβῶς τὴν ἀκήρατον, Ζώνην σου Ἄχραντε, τεῖχος καὶ σκέπην ὑπάρχουσαν, τῇ Ἱερᾷ Μονῇ σου καὶ ἐγκαλλώπισμα.

Νάουσι ῥεῖθρα σωτήρια, πελάγους τῆς Σοροῦ τῆς ἀχράντου τε, καὶ θείας Ζώνης σου, πᾶσαν τὴν κτίσιν κυκλούμενα, καὶ ἄρδοντα πλουσίως Ἁγνὴ τοὺς πάσχοντας.

**Καταβασία.**

***Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρονες, τῆς ὑπερτίμου Ἁγνῆς, Ζώνης σεπτῆς Καταθέσεως, τὸν ἐξ αὐτῆς τεχθέντα Θεὸν δοξάσωμεν.***

**Κοντάκιον.**
**Ἦχος πλ. δ΄. *Τῇ ὑπερμάχῳ.***

Τῆς Θεοτόκου τὴν σεπτὴν Ζώνην ὑμνήσωμεν, ὡς χορηγοῦσαν τοῖς πιστοῖς πᾶσιν ἰάματα, ἀναμέλποντες, ἐφύμνια μετὰ πόθου· ὡς τὸ σῶμα τῆς Πανάγνου περιζώσασαν, καὶ Θεὸν τον ἐν κοιλίᾳ περιστείλασαν, ἀνακράζοντες· Χαίροις Ζώνη Πανέντιμε.

**Ὁ Οἶκος.**

Ἄγγελοι οὐρανόθεν, καὶ βροτῶν πᾶσα φύσις, συμφώνως ἀνυμνήσωμεν πάντες, τὴν Ζώνην τῆς Παρθένου Ἁγνῆς, πολλῶν γὰρ θαυμάτων αὐτουργὸς πέφηνε· διόπερ γηθοσύνως μεγαλύνοντες πιστῶς βοῶμεν·

Χαῖρε, ἡ Ζώνη Μητρὸς Κυρίου,
χαῖρε, πηγὴ μυστηρίου θείου.
Χαῖρε, ἀσθενείας λοιμὸν καταπαύσασα,
χαῖρε, ἐναντίους ἐχθροὺς καταθραύσασα.
Χαῖρε, Ἶρις ἡ οὐράνιος τῆς Θεοῦ καταλλαγῆς,
χαῖρε, κλίμαξ ἐπανάγουσα τοὺς πιστοὺς πρὸς οὐρανούς.
Χαῖρε, ὅτι ἐναπέπνιξας τὸν ἀρχέκακον ὄφιν,
χαῖρε, ὅτι ἀπενέκρωσας τὸν ἀντίπαλον σίντην.
Χαῖρε, δι᾽ ἧς τῶν δεινῶν ἐκλυτρούμεθα,
χαῖρε, δι᾽ ἧς πᾶν καλὸν ποριζόμεθα.
Χαῖρε, Σορὸς ἀσθενῶν ἰατρεία,
χαῖρε, Μονῆς τῆσδε ἡ σωτηρία.

**Χαῖρε Ζώνη Πανέντιμε.**

**Συναξάριον.**

Τῇ λα΄ τοῦ αὐτοῦ μηνός, ἡ ἀνάμνησις τῆς ἐν τῇ ἁγίᾳ Σορῷ Καταθέσεως τῆς τιμίας Ζώνης τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, ἐν τῷ σεβασμίῳ αὐτῆς οἴκῳ, τῷ ὄντι ἐν τοῖς Χαλκοπρατείοις, ἀνακομισθείσης ἀπὸ τῆς ἐπισκοπῆς Ζήλας ἐπὶ Ἰουστινιανοῦ τοῦ βασιλέως, ἐν ἔτει φλ΄ (530). Ἔτι δὲ μνήμη τοῦ θαύματος τοῦ γεγονότος διὰ τῆς ἐπιθέσεως, τῆς τιμίας Ζώνης εἰς τὴν βασίλισσαν Ζωήν, τὴν σύζυγον τοῦ ἐν βασιλεῦσιν ἀοιδίμου Λέοντος τοῦ σοφωτάτου, ἐν ἔτει ωπς΄ (886).

**Στίχοι.**

Χρυσῆν κορωνίδ᾽ οἷα, σεμνὴ Παρθένε,
Τῷ τοῦ χρόνου τίθημι σὴν Ζώνην τέλει.
Θέντο Σορῷ Ζώνην πρώτῃ Πανάγνου τριακοστῇ.

***(Ἐκ τοῦ Συναξαριστοῦ τοῦ Ἁγίου Νικοδήμου τοῦ Ἁγιορείτου)***

Ὁ βασιλεὺς Ἀρκάδιος ὁ τοῦ μεγάλου Θεοδοσίου υἱός, ὁ βασιλεύσας ἐν ἔτει τϞε΄(395), ἔστειλε καὶ ἔφερεν ἀπὸ τὰ Ἱεροσόλυμα εἰς τὴν Κωνσταντινούπολιν τὴν τιμίαν Ζώνην τῆς Ὑπεραγίας Θεοτόκου,

ἡ ὁποία ἐφυλάττετο ἐκεῖ ὁμοῦ μὲ τὴν τιμίαν Ἐσθῆτα τῆς Θεοτόκου ἀπὸ μίαν γυναῖκα παρθένον. Ἀφ᾽ οὗ δὲ ἔφερεν αὐτὴν εἰς τὴν Κωνσταντινούπολιν, τὴν ἔβαλεν εἰς λαμπρὰν θήκην, τὴν ὁποίαν ὠνόμασεν ἁγίαν Σορόν*. Μετὰ δὲ παρέλευσιν χρόνων τετρακοσίων δέκα, Λέων ὁ Σοφὸς βασιλεὺς ἤνοιξε, τὴν ἁγίαν ταύτην Σορόν, διὰ τὴν σύζυγόν του βασίλισσαν τὴν ὀνομαζομένην Ζωήν, ἡ ὁποία ἠνωχλεῖτο ἀπὸ πνεῦμα ἀκάθαρτον. Διότι εἶδεν αὐτὴ μίαν τοιαύτην ὀπτασίαν, ὅτι ἂν βληθῇ ἐπάνω εἰς αὐτὴν ἡ τιμία Ζώνη τῆς Θεοτόκου, θέλει ἐλευθερωθῇ ἀπὸ τὸ δαιμόνιον. Ἀνοιχθείσης λοιπὸν τῆς ἁγίας θήκης καὶ Σοροῦ, εὑρέθη ἡ τιμία Ζώνη τῆς Θεοτόκου ἀκτινοβολοῦσα, ὡς ἂν ἦτο θεοΰφαντος, ἔχουσα μίαν χρυσῆν βοῦλλαν καὶ ἕνα σύντομον ὑπόμνημα, τὸ ὁποῖον ἐφανέρωνε καταλεπτῶς τὸν χρόνον, καὶ τὴν ἰνδικτιῶνα καὶ τὴν ἡμέραν, κατὰ τὴν ὁποίαν ἐφέρθη εἰς τὴν Κωνσταντινούπολιν ἡ Ἁγία Ζώνη, καὶ ὅτι κατετέθη ἀπὸ τὰς χεῖρας τοῦ βασιλέως Ἀρκαδίου ἐντὸς τῆς θήκης καὶ ἐβουλλώθη ἀπὸ αὐτόν. Ἀφ᾽ οὗ λοιπὸν ἐπροσκύνησεν αὐτὴν καὶ ἐφίλησεν ὁ βασιλεύς, τὴν ἥπλωσεν ὁ τότε Πατριάρχης ἐπάνω εἰς τὴν πάσχουσαν βασίλισσαν, καὶ ὢ τοῦ θαύματος! παρευθὺς ἠλευθερώθη ἡ βασίλισσα ἀπὸ τὸ δαιμόνιον. Ὅθεν ὅλοι ἐδόξασαν τὸν Θεὸν καὶ Σωτῆρα Χριστόν, καὶ εὐχαρίστησαν τὴν Πανάχραντον Μητέρα του, καὶ πάλιν ἀπέθεντο τὴν τιμίαν Ζώνην ἐντὸς τῆς ἁγίας Σοροῦ, εἰς τὴν ὁποίαν ἦτο καὶ πρότερον·

*(ὅρα περὶ τούτου εἰς τὴν Καλοκαιρινήν).*

Ταῖς τῆς παναμώμου πρεσβείαις, ἐλέησον ἡμᾶς Κύριε, ὁ ἐξ αὐτῆς ἀσπόρως τεχθείς. Ἀμήν.

---

* *«Ἐναντιότης εὑρίσκεται ἐδῶ ἀσυμβίβαστος περὶ τῆς ἀνακομιδῆς τῆς ἁγίας Ζώνης τῆς Θεοτόκου, καθότι καὶ ἐν τῷ Ὡρολογίῳ καὶ ἐνταῦθα γράφεται, ὅτι αὕτη ἀνεκομίσθη κατὰ τοὺς χρόνους τοῦ μεγάλου Ἰουστινιανοῦ, οὐχὶ ἀπὸ Ἱεροσολύμων, ἀλλὰ ἀπὸ Ζήλας τῆς ἐν Καππαδοκίᾳ εὑρισκομένης. Κατωτέρω δὲ γράφεται, ὅτι ἀνεκόμισεν αὐτὴν ὁ βασιλεὺς Ἀρκάδιος ἀπὸ τὰ Ἱεροσόλυμα. Πιθανωτέρα δὲ φαίνεται ἡ ἱστορία, ὅτι μετεκόμισεν αὐτὴν ὁ Ἀρκάδιος, οὐχὶ ὅμως ἀπὸ τὴν Ἱερουσαλὴμ (καθότι ἐκεῖ μόνη ἡ Ἐσθὴς τῆς Θεοτόκου εὑρίσκετο ὑπὸ Ἑβραΐδος γυναικὸς φυλαττομένη, τὴν ὁποίαν ἐπῆραν οἱ δύω Πατρίκιοι, Γάλβιος καὶ Κάνδιδος, καὶ ἔφερον αὐτὴν εἰς τὴν Κωνσταντινούπολιν· ἥτις εἰς τὰς Βλαχέρνας εὑρίσκετο, ὡς γράφεται κατὰ τὴν δευτέραν τοῦ Ἰουλίου) οὐχὶ λέγω ἀπὸ τὰ Ἱεροσόλυμα, ἀλλὰ ἀπὸ τὴν Ζήλαν μετεκόμισεν ὁ Ἀρκάδιος εἰς Κωνσταντινούπολιν τὴν Ζώνην τῆς Θεοτόκου, καὶ ἀπέθετο αὐτὴν εἰς τὸν ναὸν τῆς Θεοτόκου τὸν ἐν τοῖς Χαλκοπρατείοις. Εἶπα δέ, ὅτι εἶναι πιθανωτέρα ἡ ἱστορία αὕτη καθότι ἡ χρυσῆ βοῦλλα καὶ τὸ ὑπόμνημα καὶ ἡ χρονολογία, τὰ ὁποῖα εὗρε μετὰ ταῦτα ὁ βασιλεὺς Λέων ἔνδον τῆς ἁγιας Σοροῦ, βεβαιοῦσι τὴν ἱστορίαν ταύτην, καὶ οὐχὶ τὴν προτέραν. Ὅρα καὶ εἰς τὴν δωδεκάτην τοῦ Ἀπριλίου, ὅπου γράφεται, ὅτι ἡ ἀπὸ Ζήλας ἀνακομιδὴ, τῆς Ζώνης τῆς Θεοτόκου εἰς τὴν Κωνσταντινούπολιν ἔγεινεν ἐν ἔτει ϡιθ´ (919) ἐπὶ Κωνσταντίνου καὶ Ῥωμανοῦ τῶν Πορφυρογεννήτων, μετὰ ταῦτα δὲ ἀπετέθη αὕτη ἐν τῇ ἁγίᾳ Σορῷ. Τὴν σύγχυσιν δὲ ταύτην τῶν χρόνων, ἂς διακρίνωσιν οἱ χρονολόγοι καὶ κριτικοί.*

*Καὶ ταῦτα δὲ σημειοῦμεν ὡς ἀξιοπόθητα, ἅπερ γράφει ὁ ἀοιδιμος Δοσίθεος, σελ. 1152 τῆς Δωδεκαβίβλου, ἤγουν, ὅτι τὸν ἐν τοῖς Χαλκοπρατείοις ναον τῆς Θεοτόκου ἀνήγειραν ὁ βασιλεὺς Ἰουστῖνος καὶ Σοφία ἡ γυνή του. Ἐν δὲ τῇ ἀγρυπνίᾳ τῇ γενομένῃ ἐν τῷ οἴκῳ τῶν Χαλκοπρατείων ἐποίουν τὰς ἀναγνώσεις μεγάλοι ἄνθρωποι, στοχαζόμενοι ὡς τιμήν των μεγάλην τὴν δούλευσιν τοῦ Θεοῦ. Μιχαὴλ ὁ Ραγγαβὲ πρὸ τοῦ νὰ βασιλεύσῃ, Κουροπαλάτης ὤν, καὶ ὁ Βάρδας, Καῖσαρ μετέπειτα, καὶ πολλοὶ τῶν μεγιστάνων ἐκανονάρχουν, καὶ ἄλλας χωριστὰς διακονίας ἐποίουν ἐν αὐτῷ. Εὑρίσκοντο δὲ ἐν τοῖς Χαλκοπρατείοις καὶ τρίχες τοῦ Προδρόμου. Ἱστορεῖ δὲ καὶ Γεώργιος ὁ Λογοθέτης, ὅτι στρατεύσας Ἰσάκιος ὁ Ἄγγελος (ἴσως ὁ Κομνηνός, ὁ βασιλεύσας ἐν ἔτει ᾳνζ´ (1057) κατὰ Ἀσάνη τοῦ Βουλγάρου, καὶ δελεασθείς, ἔφοδον εἶναι Σκυθῶν, ἐνικήθη. Ὅθεν ἐπάρθη ὁ βασιλικὸς σταυρός, ἐν ᾧ ἦν μέρος τῆς ἁγίας Ζώνης αὐτῆς, καὶ τοῦ τιμίου Ξύλου· ᾄδεται δὲ λόγος, ὅτι ἡ βασίλισσα Πουλχερία, διὰ τὴν εὐλάβειαν καὶ ἀγάπην, ἣν εἶχεν εἰς τὴν Κυρίαν Θεοτόκον, διεπέρασεν εἰς τὴν Ζώνην αὐτῆς χρυσᾶς σειράς, αἱ ὁποῖαι φαίνονται ἕως τῆς σήμερον ἐν τῇ ἁγίᾳ ταύτῃ Ζώνῃ τῇ εὑρισκομένῃ κατὰ τὴν ἱερὰν καὶ βασιλικὴν Μονὴν τοῦ Βατοπαιδίου.*

*Προσθέτομεν δὲ ἐνταῦθα ὡς ἀξιόλογον τὴν εἴδησιν ταύτην, περὶ τοῦ πότε καὶ παρὰ τίνος ἀφιερώθη τῇ ἱερᾷ καὶ βασιλικῇ Μονῇ τοῦ Βατοπαιδίου ὁ πολύτιμος θησαυρὸς τῆς ἁγίας Ζώνης τῆς Θεοτόκου. Ὁ ἀνω-τέρω ῥηθεὶς βασιλικὸς Σταυρός, ἐν ᾧ ἦν ἡ πανάφθορος Ζώνη τῆς Κυρίας Θεοτόκου μετὰ τιμίου Ξύλου, αὐτὸς λέγω αἰχμαλωτισθεὶς ὑπὸ τῶν Βουλγάρων ἔμεινεν εἰς αὐτούς. Ἐν δὲ τῷ ᾳρα´ (1101) ἔτει, Λάζαρος ὁ Κνέζης Σερβίας ἀφιέρωσε τὸν ῥηθέντα βασιλικὸν Σταυρόν, οὕτω καθὼς ἦν μετὰ τῆς ἁγίας Ζώνης καὶ τοῦ τιμίου Ξύλου τῇ ἱερᾷ καὶ βασιλικῇ Μονῇ τοῦ Βατοπαιδίου. Ἦτο δὲ τοῦ σταυροῦ τὸ μὲν μῆκος δάκτυλα ἑπτά, τὸ δὲ πλάτος δάκτυλοι δύω· ὅστις σῴζεται ἐν τῇ ἀνωτέρω μονῇ μέχρι τῆς σήμερον. Ὄπισθεν δὲ τοῦ σταυροῦ εὑρίσκονται γεγραμμένα γράμματα διὰ Σερβικῶν χαρακτήρων, ἅπερ μεθερμηνευθέντα εἰς τὴν καθ᾽ ἡμᾶς γραικικὴν διάλεκτον, λέγουσι ταῦτα· "Λάζαρος ἐν Χριστῷ τῷ Θεῷ Κνέζης Σερβίας καὶ βασιλεὺς Γραικίας, ἀνατίθημι τὸ κραταιὸν ὅπλον σὺν τῇ ἀχράντῳ Ζώνῃ τῆς Παναγίας μου, τῇ Μονῇ Βατοπαιδίου τῆς Βασιλείας μου, ᾳρα´(1101)"»*

***Νικοδήμου Ἁγιορείτου.***

**ᾨδὴ ζ΄. Ὁ Εἱρμός.**

***Ἐν τῇ καμίνῳ, Ἀβραμιαῖοι παῖδες τῇ Περσικῇ, πόθῳ εὐσεβείας μᾶλλον ἢ τῇ φλογί, πυρπολούμενοι ἐκραύγαζον· Εὐλογημένος εἶ, ἐν τῷ ναῷ τῆς δόξης σου Κύριε. (δίς).***

Σὺ ὡς ἥλιος, δικαιοσούνης μόνος ὢν Φωτουργέ, θείως τὸν ναὸν ἐφαίδρυνας τῆς Σεμνῆς, τοῖς ποικίλοις σου χαρίσμασιν, ἐν ᾧ ἀνίσχουσα, τὰς ἀκτῖνας ἐκλάμπει ἡ Ζώνη αὐτῆς.

Χρυσῆν ὡς στάμνον, τὴν σὴν Σορὸν κυκλοῦντες μόνη Ἁγνή, θείας ἀληθῶς μετέχομεν νῦν τρυφῆς, τῶν χαρίτων Παντευλόγητε, καὶ τῶν συμβόλων σου, ὑπερτέραν ὡς οὖσαν τιμῶμεν αὐτήν.

Ὑπερβλύζουσιν, οἱ τῶν θαυμάτων Κόρη πάναγνε, χάριν ἀληθῶς κρατῆρές σου τοῖς πιστοῖς, καὶ ἀφθόνως τῆς τιμίας σου, Σοροῦ προέρχονται, ὡς ἐξ ἄλλης Ἐδὲμ νοητοὶ ποταμοί.

Νῦν προσέλθετε, μετ᾽ εὐφροσύνης πάντες οἱ ἐπὶ γῆς· δεῦτε ἡ Σορὸς προτρέπεται μυστικῶς, τῆς Κυρίας περιπτύξασθε, ὑπερένδοξον, ἐν ἐμοὶ θησαυρισθεῖσαν Ζώνην αὐτῆς.

**Ἕτερος.** ***Θεοῦ συγκατάβασιν.***

Ἡ πάντων Βασίλισσα, πρὸς οὐρανίους σκηνὰς ἀπαίρουσα, καταλέλοιπεν ὄλβον, Βατοπαιδίου ἐν τῇ ἰδίᾳ Μονῇ, τὴν ταύτης Ζώνην, δι᾽ ἧς περισῴζεται, ἐπιδρομῆς ὁρατῶν, καὶ ἀοράτων ἐχθρῶν.

Πηγῇ νῦν προσέλθωμεν, ἀποσταζούσῃ χάριν καὶ ἔλεος, τῇ Σορῷ τῇ τιμίᾳ, τῇ κατεχούσῃ Ζώνην τὴν πάντιμον, τῆς τιμησάσης ἀνθρώπων τὸ φύραμα, τιμίῳ Τόκῳ αὐτῆς, Παρθένου τε καὶ Μητρός.

Αἰνεῖτε τὸ Κύριον, Δυνάμεις πᾶσαι αἱ ἐπουράνιαι, καὶ τὴν τοῦτον τεκοῦσαν, ἀνθρώπων γλῶσσαι πᾶσαι δοξάσατε, ὅτι τὴν Ζώνην αὐτῆς ἐδωρήσατο, καταφυγὴν ἀληθῆ, καὶ σωτηρίαν πιστοῖς.

Ῥανάτωσαν ἄνωθεν, δικαιοσύνην νεφέλαι σήμερον, Καταθέσει τῆς Ζώνης, τῆς σῆς νεφέλη θεοχαρίτωτε, καὶ μελῳδείτω ψυχὴ πᾶσα χαίρουσα· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

**Ἕτερος.** ***Οὐκ ἐλάτρευσαν τῇ κτίσει.***

Νῦν προσέλθωμεν, μετ᾽ εὐφροσύνης ἅπαντες, ἀπαρυόμενοι, ἐκ τῆς Σοροῦ μυστικῶς, τὴν χάριν καὶ ἔλεος, ἐν πίστει κράζοντες, Ζώνη πάντιμε τῆς μόνης Θεομήτορος, σὲ τιμῶμεν εἰς αἰῶνας.

Ἐσωμάτωσας, Παρθένε τὸν δεσπόζοντα, πάντων περάτων γῆς, ὁμοιωθέντα ἡμῖν, τὸν περιζωννύοντα ἄμαχον δύναμιν, τοῖς τὴν Ζώνην σου, μετ᾽ εὐλαβείας Δέσποινα, προσκυνοῦσιν εἰς αἰῶνας.

Μένει ἄφθορος, εἰσέτι ἡ πανάχραντος, καὶ θεία Ζώνη σου, ἡ περιζώσασα πρίν, τὸ ἄχραντον σῶμά σου, καθαγιάζουσα, τοὺς βοῶντάς σοι· Εὐλογημένος Δέσποινα, ὁ καρπὸς τῆς σῆς κοιλίας.

Ὁ περίδοξος, Ναὸς ὁ εὐμοιρίσας σου, τὴν πανυπέρτιμον, Ζώνην Παρθένε Ἁγνή, πηγὴ τῶν ἰάσεων ἅπασι δείκνυται, τοῖς προστρέχουσι, μετ᾽ εὐλαβείας πάντοτε, καὶ ζεούσης διανοίας.

**Καταβασία.**

***Οὐκ ἐλάτρευσαν τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν Κτίσαντα· ἀλλὰ πυρὸς ἀπειλήν, ἀνδρείως πατήσαντες, χαίροντες ἔψαλλον· ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.***

**Ὠδὴ η΄. Ὁ Εἱρμός.**

***Χεῖρας ἐκπετάσας Δανιήλ, λεόντων χάσματα, ἐν λάκκῳ ἔφραξε· πυρὸς δὲ δύναμιν ἔσβεσαν, ἀρετὴν περιζωσάμενοι, οἱ εὐσεβείας ἐρασταί, παῖδες κραυγάζοντες· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον. (Δίς).***

Πλάκας θείας πάλαι Κιβωτός, χειρὶ γραφείσας Θεοῦ, συνέσχε Πάναγνε· ἡ σὴ δὲ Ἄχραντε Δέσποινα, σεβασμία καὶ τιμία Σορός, Ζώνην κατέχει τὴν αὐτόν, τὸν νομοθέτην ἐν σοί, συγκατασχοῦσαν· φρικτὸν τὸ μυστηριον!

Ἄγγελοι Πανάχραντε Ἁγνή, νῦν συγχορεύουσιν, ἐν τῷ σεπτῷ σου Ναῷ, καὶ περιέπουσι Δέσποινα, τὴν τιμίαν καὶ ἁγίαν σου, Ζώνην ἣν πόθῳ καὶ χαρᾷ, καὶ εὐφροσύνῃ πολλῇ, προσκυνοῦντες, ὑμνολογοῦμεν τὴν δόξαν τοῦ γένους ἡμῶν.

Ῥάβδος ἡ τὸ ἄνθος τῆς ζωῆς, ἀναβλαστήσασα, σὺ εἶ ἡ πάντων χαρά, ἡ πολυτίμητος Ἄχραντε, μυροθήκη ἡ τοῦ Πνεύματος, ὁ θησαυρὸς τῶν ἀγαθῶν, τῶν ἀρωμάτων πηγή, ἐξ ἧς μύρον, τῶν ἰαμάτων ἐκβλύζει ἡ θεία Σορός.

Ὑμνοῦσι Πανάχραντε Ἁγνή, τὰ μεγαλεῖα τὰ σά, αἱ νοεραὶ στρατιαί, ἀνακηρύττουσιν ἅπαντες, Πατριάρχαι καὶ Προφῆται τρανῶς, σὺν Ἀποστόλοις Ἱερεῖς, καὶ τῶν Μαρτύρων χοροί, καὶ Ὁσίων· μεθ᾽ ὧν προσκυνοῦμέν σε.

**Ἕτερος.** ***Ἑπταπλασίως κάμινον.***

Θρόνος καθάπερ ἅγιος, ἡ Σορὸς ἀνατίθεται, ἔνδον ἐν ἀδύτοις, ἱεροῖς φαιδρότατα, τῆς μόνης Θεόπαιδος, καὶ Βασιλίδος πάντων Ἁγνῆς, Ζώνην κεκτημένη, ἐπαναπαυομένην· ἐξ ἧς τοῖς κοπιῶσιν, ἐν πολλαῖς ἀσθενείαις, ἀνάπαυσις τελεία, προέρχεται ἀφθόνως.

Ἐπὶ τῆς γῆς τὸν Κύριον, ἱερῶς ἐσωμάτωσας, καὶ χερσὶν ἁγίαις, ἀληθῶς διέζωσας, τὸν περιζωννύοντα, τοὺς εὐσεβοῦντας δύναμιν· νῦν δὲ ἀναβᾶσα, οὐρανῶν ὑπεράνω, κατέλιπες ἀνθρώποις, τὴν τιμίαν σου Ζώνην, Παρθένε Θεοτόκε, κραταίωμα καὶ σκέπην.

Νενοσηκόσιν ἴαμα, ὀλισθαίνουσι στήριγμα, καὶ τοῖς ῥαθυμοῦσιν, εὐθυμία ἔνθεος, κυβέρνησις πλέουσι, πεπλανημένοις ἐπιστροφή, ἡ παρεπομένη τῇ τιμίᾳ σου Ζώνῃ, Ἁγνὴ Παρθένε χάρις, ἀληθῶς χρηματίζει· ἣν πίστει προσκυνοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ἐπιτελοῦντες σήμερον, τὴν ἁγίαν Κατάθεσιν, Ζώνης σου τῆς θείας, ἱερὰν Πανήγυριν, οἱ δοῦλοί σου ἄγομεν· καὶ ἐν χαρᾷ βοῶμέν σοι· Χαῖρε Θεοτόκε, ἡ χαρὰ τῶν Ἀγγέλων, καὶ πάντων τῶν ἀνθρώπων, τῶν πιστῶς μελῳδούντων· Λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

**Ἕτερος.** ***Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.***

Ἴδε ἡ Σορὸς ἐν ᾗ ἡ κλίνη, ἡ πάλαι τοῦ Σολομῶντος ἀναδείκνυται, ἧς περ οἱ ἑξήκοντα, κύκλῳ περιΐσταντο, βασιλικὸν θησαύρισμα τῆς Θεομήτορος, ἡ θεία καὶ ἀκήρατος Ζώνη, ἣν ὑμνολογοῦμεν σὺν πόθῳ εἰς αἰῶνας.

Σαρκούμενος ξένως Θεοτόκε, ὁ Λόγος Πατρὸς ἐκ σοῦ Πανάμωμε, σοῦ τὴν Πανακήρατον, Ζώνην ἐθαυμάστωσε, καὶ ἰαμάτων ἔδειξε, πηγὴν ἀένναον· διό σε τὴν Παρθένον ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

*Εὐλογοῦμεν Πατέρα, Υἱὸν καὶ Ἅγιον Πνεῦμα τὸν Κύριον ὑμνοῦμεν.*

Ἀγγέλων τὰ πλήθη τὴν σὴν Ζώνην, κυκλοῦντα Παρθένε θείοις, ᾄσμασι, εὐλαβῶς γεραίρουσι, σὺν ἡμῖν τοῖς δούλοις σου, δι᾽ ἧς παρέχεις ἅπασι, τοῖς προσιοῦσιν αὐτῇ, ἰάματα παθῶν ἀνιάτων, καὶ λοιμώδους νόσου, ἐξαίρεις τὴν σὴν Ποίμνην.

*Καὶ νῦν ...*

Φέρουσα Θεὸν ἐν ταῖς ἀγκάλαις, τὸν φέροντα σύμπαντα βουλήματι, πάντως περιέζωσας, τῇ παντίμῳ Ζώνῃ σου, Ἁγνὴ καὶ καθωράϊσας, ἥν περ κατέλιπες, ἡμῖν τοῖς εὐλογοῦσιν ἐκ πόθου, καὶ δοξολογοῦσιν εἰς Αὐτὸν τοὺς αἰῶνας.

**Καταβασία.**

*Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.*

***Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου διεσώσατο, τότε μὲν τυπούμενος· νῦν δὲ ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν, ἀγείρει ψάλλουσαν· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.***

**Ἡ Τιμιωτέρα οὐ στιχολογεῖται.**

**Ὠδὴ θ΄. Ὁ Εἱρμός· *(δὶς μετὰ στίχου).***

*Μεγαλύνομέν σε τὴν μόνην Θεοτόκον, Μητέρα τοῦ Ὑψίστου.*

***Λίθος ἀχειρότμητος ὄρους, ἐξ ἀλαξεύτου σου Παρθένε ἀκρογωνιαῖος ἐτμήθη, Χριστὸς συνάψας τὰς διεστώσας φύσεις, διὸ ἐπαγαλλόμενοι, σὲ Θεοτόκε μεγαλύνομεν.*** ***(Δίς).***

**Στίχ.** *Ἡλιόμορφε Κόρη, σοῦ τὴν ἀστραπηφόρον τιμῶμεν θείαν Ζώνην.*

Θάλαμος ὑπέρτιμος ὄντως, Θεογεννῆτορ ἡ Σορός σου, ὤφθη τὴν ἁγίαν σου Ζώνην, παρθενικήν τε καὶ νυμφικὴν ὡς στολήν, ἀξίως περιέχουσα, καὶ συντηροῦσα ὡς ζωῆς θησαυρόν.

**Στίχ.** *Πανάσπιλε Μαρία, τὴν ἄφθορόν σου Ζώνην σὺν πόθῳ προσκυνοῦμεν.*

Ἔνθεον διάδημα κάλλους, ἡ Ἐκκλησία Θεοτόκε, ἀναδησαμένη τὴν θείαν, καὶ παναγίαν σου Ζώνην σου σήμερον, βασιλικῶς εὐφραίνεται, καὶ ὡραΐζεται τῇ δόξῃ σου.

**Στίχ.** *Σειρὰν τὴν οὐρανίαν, ὑπέρλαμπρόν σου Ζώνην τιμῶμεν Θεοτόκε.*

Ναὸν ἐκμιμούμενον πᾶσαν, τῶν οὐρανῶν τὴν εὐκοσμίαν, σήμερον πιστοὶ τῆς, Παρθένου, κατειληφότες τῶν χαρισμάτων αὐγαῖς, ὥσπερ ἀστέρων κάλλεσι, καταλαμπόμενοι φαιδρύνθητε.

**Στίχ.** *Ἶριν τηλαυγεστάτην, θαυματόβρυτον Ζώνην, τιμῶμέν σου Παρθένε.*

Ἔχει τὴν ἁγίαν σου Ζώνην, Θεογεννῆτορ ἡ σὴ Ποίμνη, σκέπην καὶ ἀντίληψιν θείαν, καὶ ἐν κινδύνοις τεῖχος ἀπόρθητον, καὶ τῆς Μονῆς διάσωσμα, καὶ λοιμικῆς νόσου ἐλάτειραν.

**Στίχ.** *Τόξον βολίδας ἰάσεων ἐκπέμπον, Ζώνην σου, ἐκθειάζομεν Κόρη.*

Ὑμνοῦμεν τὴν ἄφατον δόξαν, καὶ τὴν ἀνείκαστόν σου χάριν· σὺ γὰρ εἶ πηγὴ τῆς σοφίας, ἐξ ἧς ὁ λόγος πᾶσι προέρχεται, τοῖς σὲ τιμῶσιν Ἄχραντε, καὶ μεγαλύνουσι τὸν τόκον σου.

**Ἕτερος.** ***Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός.***

**Στίχ.** *Μεγάλυνον ψυχή μου, τὴν τῆς Ἁγνῆς Παρθένου, πανακήρατον Ζώνην.*

Ἰδοὺ ἡ θεία κλίνη τοῦ Σολομών, δυνατοὶ ἣν κυκλοῦσιν ἑξήκοντα, ῥήσει Γραφῶν, οἷά περ ἐν κλίνῃ βασιλικῇ, Σορῷ τιμίᾳ σήμερον, Ζώνην ἀνακλίνει τὴν ἑαυτῆς, ἀνάκλησιν εἰς πάντων, τῶν τεταπεινωμένων, καὶ εὐσεβούντων περιποίησιν.

**Στίχ.** *Μεγάλυνον ψυχή μου, Σειρὰν ἀστραπηφόρον, τὴν τῆς Πανάγνου Ζώνην.*

Ὡς πόλις Βασιλέως τῶν οὐρανῶν, περὶ ἧς ἐλαλήθη παράδοξα, ἔθου τῇ σῇ, Ποίμνῃ δῶρον τίμιον καὶ σεπτόν, τὴν παναγίαν Ζώνην σου, πάντων εἰς κραταίωμα τῶν πιστῶν· δι' ἧς οἱ καχεκτοῦντες, λυτροῦνται πάσης λώβης, καὶ πᾶσα νόσος ἀπελαύνεται.

**Στίχ.** *Μεγάλυνον ψυχήν μου, Ἶριν τὴν οὐρανίαν, τηλαυγεστάτην Ἁγνῆς Ζώνην.*

Σταλάξατε τὰ ὄρη νῦν γλυκασμόν, καὶ βουνοὶ εὐφροσύνην αἰώνιον, Πατριαρχῶν, δῆμοι καὶ Μαρτύρων πάντες χοροί, τῶν Προφητῶν ὁ σύλλογος, θείων Ἀποστόλων δῆμος σεπτός, εὐφράνθητε σὺν πᾶσιν, ἡμῖν τῇ Καταθέσει, τῆς θείας Ζώνης τῆς θεόπαιδος.

**Στίχ.** *Μεγάλυνον ψυχή μου, τὴν χρυσόπλοκον Ζώνην, τῆς Παντανάσσης τόξον.*

Ἡγίασας τὰ πάντα διὰ τῆς σῆς, Παναγία Παρθένε κυήσεως, καὶ νῦν ἡμῖν, δέδωκας εἰς πλείονα φωτισμόν, τὴν παναγίαν Ζώνην σου, ἧς τῇ Καταθέσει πᾶσα ἡ γῆ, χορεύει καὶ γεραίρει, σὲ τὴν χαρᾶς ἀῤῥήτου, ἀποπληροῦσαν τὸ ἀνθρώπινον.

**Στίχ.** *Μεγάλυνον ψυχή μου, Κλίμακα θεσπεσίαν, τὴν τῆς Μητροπαρθένου Ἁγνῆς τιμίαν Ζώνην.*

Φιλίας με δολίας τῆς τῶν παθῶν, καὶ ἐχθροῦ καθ᾽ ἑκάστην πειράζοντος, ἁμαρτιῶν βάρει ῥαθυμίας τε χαλεπῆς, ἀπαγωγῆς πανάχραντε, καὶ αἰχμαλωσίας καὶ προνομῆς, τῷ σῷ προσπεφευγότα, ἐλέει διὰ τάχους, ὡς συμπαθὴς Ἁγνὴ ἀπάλλαξον.

**Ἕτερος. *Ἅπας γηγενής.***

**Στίχ.** *Ἄγγελοι τὴν Ζώνην τῆς Θεοτόκου, ὁρῶντες καταπλήττονται, πῶς παραδόξως παρέχει, τοῖς προσιοῦσι τὴν χάριν.*

Θεῖος θησαυρός, ἡ Ζώνη σου δέδεικται Θεοκυῆτορ πιστοῖς, τοῖς αὐτὴν γεραίρουσι, καὶ ἐτησίως πανηγυρίζουσι, τὴν ἱερὰν καὶ εὔσημον ὄντως Κατάθεσιν, ἣν διέθου, ἅπασι σωτήριον, καὶ κοινὸν ἀσθενῶν ἰατήριον.

**Στίχ.** *Ἄγγελοι κυκλοῦσι Σορὸν τὴν θείαν, τῆς Ζώνης τῆς Θεόπαιδος, συναγαλλόμενοι πᾶσι, τοῖς μεγαλύνουσι ταύτην.*

Ὅλης ἐκ ψυχῆς, προσδράμωμεν σήμερον, πάντες φιλόχριστοι, Ζώνης τῆς σεπτῆς Σορῷ, καὶ μετὰ πίστεως προσπτυξώμεθα, ῥῶσιν ψυχῆς καὶ σώματος ἀπολαμβάνοντες, καὶ ὑμνοῦντες, ταύτης τὴν ἀντίληψιν, τὴν Ἁγνὴν Θεοτόκον δοξάζοντες.

**Δόξα.**

**Στίχ.** *Ἄγγελοι καὶ ἄνθρωποι τῆς Πανάγνου, τὴν Ζώνην τὴν ἀκήρατον, τιμήσωμεν ἐπαξίως, ὡς ζώσασαν Θεὸν Λόγον.*

Ῥᾶνον ἐφ᾽ ἡμᾶς, Παρθένε τὰ πλούσια θεῖα ἐλέη σου, τῇ παναλκεστάτῃ δέ, δυνάμει Ζώνης τῆς ὑπερτίμου σου, τὴν σὴν Μονὴν περίσῳζε, ἐκ περιστάσεων, καὶ τοὺς πόθῳ ταύτῃ προσεδρεύοντας, χαλεπῶν νοσημάτων ἐκλύτρωσαι.

**Καὶ νῦν.**

**Στίχ.** *Ἄχραντε Παρθένε Θεοκυῆτορ, τὴν Ποίμνην σου περίζωσον, δύναμιν τῆς σῆς Ζώνης, ἵν᾽ ἀσινὴς διαμένῃ.*

Ἔχει τὴν Σορόν, τῆς Ζώνης σου Πάναγνε ἡ Ἱερά σου Μονή, ἡ τῷ σῷ ὀνόματι, σεμνυνομένη καὶ καυχωμένη ἐν σοί· ἣν περιφρούρει πάντοτε, ἀπὸ παντοίων δεινῶν, καὶ κινδύνων, σοὺς δούλους ἀπάλλαξον, καὶ ζωῆς αἰωνίου ἀξίωσον.

**Καταβασία.**

*Ἄγγελοι τὴν Ζώνην τῆς Θεοτόκου, ὁρῶντες καταπλήττονται, πῶς παραδόξως παρέχει, τοῖς προσιοῦσι τὴν χάριν.*

***Ἅπας γηγενής, σκιρτάτω τῷ πνεύματι, λαμπαδουχούμενος· πανηγυριζέτω δέ, ἀΰλων Νόων φύσις γεραίρουσα, τὴν ἱερὰν Κατάθεσιν τῆς ὑπερτίμου Ἁγνῆς, θείας Ζώνης, Χαίροις αὐτῇ κράζουσα, Θεοτόκε Ἁγνὴ Ἀειπάρθενε.***

**Ἐξαποστειλάριον.**

**Ἦχος β΄. *Γυναῖκες ἀκουτίσθητε.***

Ὁ πάντα ὑπὲρ ἔννοιαν, τὰ σὰ ποιήσας Ἄχραντε, τὴν σὴν Ἐσθῆτα καὶ Ζώνην, ἐτίμησεν ἀφθαρσίᾳ, τῇ Ποίμνῃ σου κραταίωμα, δοὺς ταύτην καὶ ἀσφάλειαν· ἧς καὶ νῦν τὴν Κατάθεσιν, περιχαρῶς ἐκτελοῦντες, πανηγυρίζομεν πόθῳ.

**Ἕτερον. Ὅμοιον.**

Τῆς Ζώνης τῆς τιμίας σου, μεθ᾿ ἧς τὸ ἱερώτατον, σὸν περιέστειλας σῶμα Θεοκυῆτορ Παρθένε, τιμῶντες ἑορτάζομεν, τὴν ταύτης νῦν Κατάθεσιν, δι᾿ ἧς φθορᾶς λυτρούμεθα, καὶ πειρασμῶν καὶ κινδύνων, Μῆτερ Θεοῦ τοῦ Ὑψίστου.

**Ἕτερον. Ὅμοιον.**

Κυρία πάντων πέλουσα, τῶν ποιημάτων Δέσποινα, πιστοῖς κατέλιπες ὄλβον, ἀδάπανον τὴν σὴν Ζώνην, δι᾿ ἧς οἱ κινδυνεύοντες, τὴν λύτρωσιν λαμβάνουσι, καὶ ἡ σὴ Ποίμνη σῴζεται, κινδύνων καὶ κακώσεων, ἡ πίστει σὲ εὐφημοῦσα.

**Εἰς τοὺς Αἴνους·**

**Ἱστῶμεν Στίχους δ΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.**
**Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.**

Χαῖρε εὐφραίνου καὶ σκίρτα, Βατοπαιδίου Μονή, κατέχουσα ἐν κόλποις, τὴν ὑπέρτιμον Ζώνην, τῆς μόνης Θεοτόκου τὰς ἀστραπάς, τῶν θαυμάτων ἐκπέμπουσαν, καὶ ἰαμάτων πελάγη τοῖς πρὸς αὐτήν, προσιοῦσι διανέμουσαν.

Ἀφθόνως πᾶσιν ἐκβλύζει, πηγὰς ἰάσεων, ἡ πάντιμός σου Ζώνη, Δέσποινα Θεοτόκε, ἣν ἔδωκας τῇ Ποίμνῃ σου θησαυρόν, καὶ πηγὴν τῶν ἰάσεων, σὲ γὰρ μεσῖτιν κεκτήμεθα καὶ φρουρόν, ἀπροσμάχητον οἱ δοῦλοί σου.

Δεῦτε ἀρύσασθε πάντες, χάριν ἰάσεων, ἐκ τῆς πανσέπτου θήκης, Ζώνης τῆς Θεοτόκου, καὶ γὰρ ἀφθόνως βρύει, ῥῶσιν ψυχῶν, καὶ σωμάτων ἑκάστοτε, τοῖς ἁπτομένοις καὶ ψαύουσιν εὐλαβῶς, πᾶσαν λώβην ἐκδιώκουσα.

Ὡς θαυμαστή σου ὑπάρχει, καὶ θαυματόβρυτος, ἡ πάντιμος σου Ζώνη, ἄφθορε Θεοτόκε, ἀστράπτουσα τεράτων μαρμαρυγάς, ἐν αὐτῇ γὰρ συνέστειλας, τὸν Ποιητὴν τῶν ἁπάντων, καὶ ἐξ αὐτοῦ, θείαν δύναμιν παρέλαβε.

**Δόξα, Καὶ νῦν. Ἦχος πλ. α΄.**

Δεῦτε φιλεόρτων τὸ σύστημα, δεῦτε καὶ χορείαν στησώμεθα, δεῦτε καταστέψωμεν ᾄσμασι τὴν Ἐκκλησίαν, ἐπὶ τῇ Καταθέσει, σήμερον, τῆς πανεντίμου Ζώνης, τῆς Μητρὸς τοῦ Θεοῦ ἡμῶν, καὶ πρὸς αὐτὴν ἐκβοήσωμεν λέγοντες· Χαίροις Σειρὰ ἡ οὐράνιος, ἡ τὸν νοητὸν οὐρανὸν ὡραΐσασα· χαίροις ἶρις πολύμορφε, ἡ ταῖς τοῦ Πνεύματος καθωραϊσμένη ῥανίσι, χαίροις τόξον χρυσαυγέστατον, τὸ τὴν πλατυτέραν οὐρανοῦ γεφυρῶσαν· χαίροις χρυσόπλοκε σφενδόνη, τῆς Θυγατρὸς τοῦ Δαβίδ, δι᾿ ἧς τὸν νοητὸν τροπούμεθα Γολιάθ· χαίροις φραγγέλιον τῆς Παρθένου τρίπλοκον παμφαέστατον, ἐν ᾧ τὸν δολερώτατον δράκοντα ἐναπέπνιξε, καὶ τὸ παρθενικὸν αὐτῆς περιέστειλε σῶμα, καὶ ἐκεῖθεν τὴν ἀφθαρσίαν ἀρδευόμενον· χαίροις Ζώνη ἡλιόμορφε, ἡ τὸν νοητὸν ἥλιον, ἐν κοιλίᾳ ὄντα τῆς Παρθένου, αἰσθητῶς διαζώσασα, καὶ τῶν ἰαμάτων τὴν χάριν πλουτήσασα· ἣν παρέχεις ἀφθόνως, τοῖς μετὰ πόθου εὐλαβῶς ἁπτομένοις σου.

**Δοξολογία Μεγάλη· μεθ᾿ ἣν τὸ Ἀπολυτίκιον τῆς Ἁγίας Ζώνης,**
**ἡ ἐκτενὴς καὶ Ἀπόλυσις.**

## ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

**Τὰ τυπικά, καὶ οἱ Μακαρισμοὶ ἐκ τῶν Κανόνων,**
**Ὠδὴ γ΄. Ἦχος πλ. δ΄.** ***Οὐρανίας ἁψῖδος.***

Νεουργεῖται καρδία, πίστει θερμῇ ψαύουσα, Ζώνῃ ἱερᾷ τῆς Παρθένου, καὶ περιζώννυται, δύναμιν ἄμαχον, κατὰ παθῶν ἀκαθάρτων, δυσμενῶν ἀσάρκων τε, ἄτρωτος μένουσα.

Μένει ἄφθορος ἔτι, ἡ ἱερὰ Ζώνη σου, ἥτις σου τὸ ἄχραντον σῶμα, Κόρη διέζωσε, καθαγιάζουσα, τοὺς εὐσεβῶς προσιόντας, καὶ φθορᾶς ἐξαίρουσα, νόσων καὶ θλίψεων.

Ἐχρημάτισας οἶκος, περικαλλὴς Ἄχραντε, Λόγου τοῦ ἐκ σοῦ σαρκωθέντος, καὶ ἐν ἁγίῳ σου, οἴκῳ ηὐδόκησας, Ζώνην τὴν σὴν ἐντεθῆναι· ἣν κατασπαζόμενοι ἁγιαζόμεθα.

Τὴν τιμίαν σου Ζώνην, τιμητικῶς ἅπαντες, ἐν ἀγαλλιάσει καρδίας, περιπτυσσόμεθα, τιμὴν ὑπάρχουσαν, πάντων πιστῶν Θεοτόκε, ὡς τῷ ὑπερτίμῳ σου, ψαύσασαν σώματι.

**Καὶ ἕτερος Κανών. Ὠδὴ ϛ΄.**
**Ἦχος ὁ αὐτός.** ***Τὴν θείαν ταύτην καὶ πάντιμον.***

Χαρᾶς αἰτία χαρίτωσον, ἡμῶν τὸν λογισμὸν τοῦ κραυγάζειν σοι· Χαῖρε ἡ ἄφθορος, Ζώνη τιμία ἐν χάριτι, ὡς τῆς ζωῆς τὸ σκεῦος ἡ περιζώσασα.

Ῥέουσι θεῖα ἀρώματα, ἐκ τῆς πανευκλεοῦς θείας Ζώνης σου, καὶ καταρδεύουσι, πάντων ψυχὰς τηκομένας τε, φλογμῷ τῆς ἁμαρτίας Θεοχαρίτωτε.

Ἰσχύν με θείαν περίζωσον, ὑμνοῦντα εὐλαβῶς τὴν πανάχραντον, Ζώνην σου ἄφθορε, περιβολὴν χρηματίζουσαν, τῇ Ποίμνῃ σου Παρθένε, καὶ ἀγαλλίαμα.

Νάουσι ῥεῖθρα τῆς χάριτος, πελάγους τῆς Σοροῦ τῆς ἀχράντου τε, καὶ θείας Ζώνης σου, πᾶσαν τὴν κτίσιν κυκλούμενα, καὶ ἄρδοντα πλουσίως Ἁγνὴ τοὺς ψαύοντας.

**Ἀπολυτίκιον. Ἦχος, πλ. δ΄.**

Θεοτόκε ἀειπάρθενε τῶν ἀνθρώπων ἡ σκέπη, Ἐσθῆτα καὶ Ζώνην τοῦ ἀχράντου σου σώματος, κραταιὰν τῇ Ποίμνῃ σου περιβολὴν ἐδωρήσω, τῷ ἀσπόρῳ τόκῳ σου ἄφθαρτα διαμείναντα. Ἐπὶ σοὶ γὰρ καὶ φύσις καινοτομεῖται καὶ χρόνος· διὸ δυσωποῦμέν σε, εἰρήνην τῇ κληρουχίᾳ σου δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

**Κοντάκιον. Ἦχος πλ. δ΄.** ***Τῇ ὑπερμάχῳ.***

Τῆς Θεοτόκου τὴν σεπτὴν Ζώνην ὑμνήσωμεν, ὡς χορηγοῦσαν τοῖς πιστοῖς πᾶσιν ἰάματα, ἀναμέλποντες, ἐφύμνια μετὰ πόθου· ὡς τὸ σῶμα τῆς Πανάγνου περιζώσασαν, καὶ Θεὸν τον ἐν κοιλίᾳ περιστείλασαν, ἀνακράζοντες· Χαίροις Ζώνη Πανέντιμε.

**Ἀπόστολον, Ζήτει Νοεμβρίου κα΄.**
Ἀδελφοὶ εἶχεν ἡ πρώτη σκηνὴ δικαιώματα λατρείας.
**Εὐαγγέλιον, Κατὰ Λουκᾶν, Ζήτει Σεπτεμβρίου η΄.**
Τῷ καιρῷ ἐκείνῳ εἰσῆλθεν ὁ Ἰησοῦς εἰς Κώμην τινά.
**Μεγαλυνάριον.**

Ζώνην τὴν ὑπέρτιμον καὶ σεπτήν, πόθῳ σου τιμῶντες, περιζώνυνται οἱ πιστοί, δύναμιν Παρθένε, κατὰ παθῶν ἀτίμων, σῴζονται δὲ κινδύνων, κατασπαζόμενοι.

**Κοινωνικόν.**

Ποτήριον σωτηρίου λήψομαι καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι.